σχέσιν γραφικὴν πρὸς τὸ ὄνομα τῇ τε ὁριζοντείῳ καμπύλῃ γραμμῇ, οἷον λαιμῷ τινι, καὶ τῇ κατιούσῃ κεκλασμένῃ, οἷον ποδὶ ἐνάρθρῳ. Ὁ Hug παρατίθησιν ἐν τῷ πίνακι καὶ μορφὴν ἱερογλυφικήν, προφανῶς, εἰ καὶ μὴ ἀκριβῶς, ἐμφαίνουσαν κεφαλὴν καὶ λαιμὸν καμήλου, οὕτω  , ὥστε σημαίνεσθαι ἀπὸ μέρους τὸ ὅλον. Ἀλλ' οὐδ' αὐτὸς ἐπιφέρει μαρτυρίαν τινὰ πόθεν ἔχει λαβὼν τὴν μορφήν, οὐθ' ἡμεῖς πολὺ ἐρευνήσαντες τὰς ἱερογλυφικὰς ποικίλας ἐπιγραφὰς ἐν τῷ μεγίστῳ συγγράμματι Des Antiquités Egyptiennes de l' Expédition française en Egypte κυτυχήσαμεν ἐντυχεῖν τοιούτῳ τινὶ σχήματι. Ἀλλὰ καὶ ὁ Saalschütz οὐχ εὗρε τὸ ἀντίστοιχον τοῦ γράμματος ἐν τοῖς ἱερογλυφικοῖς, καὶ λέγει (σελ. 49)· Man wird dies Bild im Aegyptischen nicht suchen. Τὸ φοινικικὸν πλησιέστατον τῷ ἑλληνικῷ οὕτω ⅂ καὶ ⅂ καί ποτε ὀξυτέρᾳ τῇ γωνίᾳ οὕτω ⅃. Τὸ αὐτὸ σχῆμα φέρει καὶ ἐν ταῖς σιναϊτικαῖς ἐπιγραφαῖς. Ὁ δὲ Ρυδβέκιος ἐσημείωσεν ἐν τῷ ρυνικῷ ἀλφαβήτῳ τὸ Γ, ἢ ὀρθότερον τὸ λατινικὸν C ἐπέχον τόπον τοῦ Γ, ἁπλῇ καθέτῳ οὕτω I. Οὐ μακρὰν τούτων ἐστὶ καὶ τὸ αἰθιοπικὸν ὅπερ πρηνὲς ὂν ποιεῖ τὸ γρανθὰμ οὕτω . Αἱ δύο γραμμαί, ποιοῦσαι γωνίαν ἐν τῷ σαμαρικῷ, οὐσιώδεις θεωροῦμεναι εἰς τὸ γράμμα, ἐτηρήθησαν ἐν τῷ ⊃ ἀραβικῷ· ἡ γὰρ συστραφεῖσα οὐρὰ ἐν τῷ ⊃ ὁλκὴ γραφίδος ἁπλῆ ἐστι καὶ οὐδὲν πλέον· ὅθεν ἐν τῇ ἀρχῇ καὶ ἐν τῷ μέσῳ τῶν λέξεων παραλιμπάνεται. Καὶ ἐν τῷ συρικῷ, τῷ πεσχίτῳ, ἡ αὐτὴ γωνία σώζεται, εἰ καὶ ἄλλως οὕτως ἐξ οὗ καὶ τὸ ἡμέτερον τροχαλὸν γ. Ἐνδὲ τῷ ἐσράγγελῳ οὕτω . Ἐφ' ᾧ τοιάνδε τινά, καὶ καθ' ἡμᾶς παράδοξον, τήρησιν ποιεῖ ὁ Welsford (σελ. 41)· And if this be the true etymology (ἡ ἐκ τῆς καμήλου δηλονότι), the syriac is probably the oldest form as it bears the closest resemblance to the long neck of that animal. Ἐν τῇ ἑτρουρικῇ, ὡς καὶ ἐν τῇ λατινικῇ, οὐκ ἀπαντᾶται, ἀναπληρούμενον ἐν τῇ δευτέρᾳ, ὡς ὑφόμεθα, ἀλλοφθόγγως διὰ τοῦ ἡμίσεως Κ οὕτω ⟨ ὅπερ κατέχει τόπον Γ ἐν τῇ λοκρικῇ ἐπιγραφῇ, τῇ ὑπὸ τοῦ σπουδαιοτάτου καὶ ἀξιεπαίνου Κ. Οἰκονομίδου ἐκδοθείσῃ μετὰ σοφῶν σημειώσεων (ἐν Κερκύρᾳ, 1850). Ἐν τῇ ἀναγινωσκομένῃ ἱερογλυφικῇ γραφῇ οὐκ ἀπαντᾶται, συγχεομένης, ὡς ἔοικε, τῆς προφορᾶς αὐτοῦ τῷ κ, ἢ τῷ χ. Ἐν τῷ σαμσκρητά, ἔχοντι καὶ λεπτὸν καὶ δασὺ καὶ συρικτὰ δύο (λεπτὸν καὶ δασύ), μόλις ἄν τις τολμήσειεν εἰπεῖν, ὅτι τὸ λεπτὸν ⊓ δύναται ἀναχθῆναι εἰς τὸ ἡμέτερον ἀρχαῖον ἐκκλησιαστικὸν Γ. Τὸ ἰουδαϊκὸν ג ξενίζει ὅλως, ἂν μὴ εἴπῃς αὐτὸ ἀνατετραμμένον πως τὸ ἡμέτερον. Μεταξὺ τῶν πέντε ἢ ἓξ μορφῶν, ἃς ἤλλαξε κατὰ αἰῶνας τὸ στοιχεῖον τοῦτο ἐν τῇ ἑλληνίδι, καὶ πασῶν τούτων ἐν γωνίᾳ τῶν δύο γραμμῶν, μία μόνη εὑρίσκεται μηνισκοειδής, ἐκλειψάσης τῆς γωνίας ἐκ τῆς ⟨ (=L), ὡς ὁρᾶται ἔν τινι νομίσματι τοῦ ἐν τῇ Μεγάλῃ Ἑλλάδι Ῥηγίου (Reggio), ἀποικίας ἑλληνικῆς, μικτῆς Χαλκηδέων καὶ Μεσσηνίων, κατὰ τὸν πρῶτον Μεσσηνιακὸν πόλεμον γενομένης, περὶ τὸ 740 Π. Χ. Τὸ νόμισμα φέρει ἐν μέσῳ καθήμενόν τινα σκηπτοῦχον καὶ ἐπιγραφὴν PECI . . . SON ὅπως εὑρηται ὑπὸ Dutens ἐν νομίσματι τοῦ Γέλωνος καὶ τῶν Ἀκραγαντίνων· διὸ καὶ δοξάζει αὐτὴν ἀρχαιοτάτην ἔν γε τῇ ἑλληνικῇ γραφῇ· ἀλλ' ὁ Welsford διϊσχυρίζεται, ὅτι τοῦτο τὸ C (=Γ) ἐστὶ κακῶς κεχαραγμένον λατινικὸν G.

64. Τὸ Δ. δέλτα καὶ σαμαρικὸν ⊿ δάλεθ. Σημαίνει δὲ θύραν ἢ εἴσοδον, εἴσοδον ὅμως τῶν ἀραβικῶν σκηνῶν, τῆς μὲν ὁριζοντείου ὕπερθεν γραμμῆς ἐμφαινούσης τὴν ῥάχιν ἢ τὸν ὄνον τῆς σκηνῆς, τῆς δὲ παραταθείσης δεξιᾶς λοξῆς, τὰ θυραῖα παραπήγματα ἢ τὰς παραστάδας, ἐφ' αἷς στηρίζεται ὁ ὄνος. Καὶ πάντως דלת ἑβραϊστὶ λέγεται ἡ θύρα hostium, janua, fores, ὅθεν καὶ αἱ βαλβίδες (τὰ φύλλα τῶν θυρῶν), ἔτι δὲ καὶ αἱ σελίδες τῶν βιβλίων, καθ' ἃ ἡρμήνευσε καὶ ὁ θεῖος Ἱερώνυμος *πινάκων*, tabularum. Ἅπαντες οἱ λοιποὶ ἑρμηνεύουσι θύραν ἁπλῶς. Διαφέρει δ' ὅμως ἡ ἡμετέρα γνώμη ἐνταῦθα, ὅτι πρῶτον μὲν οὐχ εὑρίσκομεν τὸ דלת ὡς ῥίζαν αὐτόχρημα, ἢ ὡς λέγουσιν οἱ Ἀνατολικοὶ جامد *παγίαν* ἢ αὐτοπαγῆ, ἧς δηλονότι οὐδὲν τῶν γραμμάτων κατὰ πάσας τὰς ἀνακυκλήσεις τῶν γραμματικῶν παθῶν ἀπόλλυται· ἀλλ' οὐδ' ἐν ἁπάσαις ταῖς ἁρμονικαῖς εὕρηται τοιαύτη ῥίζα. Διὸ εἰκάζομεν ῥίζαν ἀληθῆ τὸ ἀραβικὸν دلث duxit, direxit, ὅ-

θεν دال (ΔΑΛ), quoquis dirigitur· καὶ τῷ ὄντι οἱ Ἄραβες τὸ ὄνομα τοῦ γράμματος دال (ΔΑΛ) λέγουσι, σημαίνει δὲ ὁδηγόν, δείκτην). Εἰς ταύτην δὲ τὴν ῥίζαν προστιθέμενον τὸ ־ ἢ τὸ ם ποιεῖ τὸ θηλυκόν, ἢ τὸ ἀφῃρημένον τῶν ἀραμαίων γλωσσῶν, *ὁδηγία*, ἧς σύμβολον πραγματικὸν ἡ θύρα, ἡ δεικνῦσα τὴν εἴσοδον καὶ ὁδηγοῦσά πως τὸν ἄνθρωπον, ὅθεν καὶ σύμβολον εἰσαγωγῆς. Τὸ σχῆμα ἐν τοῖς φοινικικοῖς, ὡς ἀναφέρει ὁ Hug ἐκ τῶν νομισμάτων, ἐστὶ ἄνευ τῆς ὁριζοντείου τοῦ σαμαρικοῦ. Ὁ Saalschütz τὸ αὐτὸ ἐκ τῶν νομισμάτων οὕτω . Ὁ δὲ Hitzig ἐσημείωσεν οὕτω . Ἐκ δὲ τοῦ ἑλληνικοῦ ἀφῃρέθησαν ἥτε ὁριζόντειος καὶ ἡ λοξὴ γραμμὴ οὕτω ἔτι καὶ ἐν τοῖς κατ᾽ ἄλλην θέσιν γραφομένοις, οἷον ἐν τῇ λοκρικῇ καὶ ἐν τῇ δηλίᾳ καὶ ἐν τῇ σιγείᾳ ἐπιγραφῇ. Ἔτυχον ἰδεῖν κώδηκα ἀρχαῖον ἐκκλησιαστικῆς ὕλης, γραφέντα, ὡς εἴκασα, περὶ τὸν ὄγδοον αἰῶνα καὶ κομισθέντα ἀπὸ Συρίας, ἐν ᾧ τὸ Δ εἶχεν οὕτω οἱονεὶ τὸ φοινικικὸν παλίνορσον, μικρὸν ἐκτοπισθείσης τῆς λοξῆς γραμμῆς. Καὶ ἐπειδὴ περὶ τὸν αὐτὸν αἰῶνα, ἢ μικρὸν ὕστερον (ἤτοι τῷ 865), ἐπενοήθησαν (ὅρα J. Dobrowski, Instit. Ling. Slav. dialecti veteris. Vindob. 1822. Prolegom.) τὰ σλαυϊκὰ γράμματα ὑπὸ τῶν ἐν μακαρίοις Μεθοδίου καὶ Κυρίλλου τῶν ἰσαποστόλων, τὸ Δ ἐσχηματίσθη οὕτω οἷον καὶ διατηρεῖται μέχρι τῆς σήμερον. Τοῦτο δὲ προγγυλογραφούμενον τὴν τριγωνικὴν ἄκραν ταὐτὸν ἔσαι τῷ αἰθιοπικῷ δεύτ. Ὁ δ᾽ Ἀλέξιος Σύμμαχος Mazzocchi ἐσημείωσεν ἐν τῷ Προδρόμῳ τῶν Ἡρακλητων ψηφισμάτων (ἐν Νεαπόλει, 1754. σελ. 124—125.) τὸ Δ οὐ μόνον ἐκ τοῦ ἑτέρου μέρους προηγμένην ἔχον τὴν πλευράν, ἀλλὰ καὶ ἑκατέρωθεν οὕτω ὥστε συμπίπτειν τῷ ἄλφα. Ὁ Welsford ὁμολογεῖ, ὅτι καὶ τὸ σχῆμα καὶ τὸ ὄνομα τοῦ γράμματος περιῆλθεν εἰς τοὺς Ἕλληνας παρὰ τῶν Φοινίκων, ἀλλ᾽ οὐ συνορᾷ, λέγει, ὁμοιότητά τινα θύρας. Ἐν τοῖς ἱερογλυφικοῖς ὁ Hug μαρτυρεῖ εὑρηκέναι αὐτὸ οὕτω κατάλληλον θύραν, ὡς λέγει (σελ. 26), πυραμοειδῆ ἢ τριγωνικὴν αἰγυπτιάζουσαν (αἱ γὰρ φοινικικαὶ οἰκοδομαὶ κατ᾽ αὐτὸν οὐ τοιαῦται ἦσαν). Ἐκ δὲ τούτου μάλιστα αἰνίττεται καὶ ἀρχὴν τοῦ Ἀλφαβήτου αἰγυπτιακήν. Τὴν αὐτὴν γνώμην ἐκφράζει καὶ ὁ Saalschütz, εἰμὴ ὅτι οὕτως ἀπηντηκέναι λέγει τῷ στοιχείῳ· eine Pyramide oder eine Hütte oder ein Grab (σελ. 40). Ἐκ τῶν ἀναγινωσκομένων ὅμως τῷ Χαμπολλιὼν ἱερογλυφικῶν ἐλλείπει· ἐν δὲ τῷ οἰκίσκῳ Γ΄. *Ἀλέξανδρος* ἀναγινωσκομένῳ ΑΛ ΣΝΤΡΖ, ἀναπληροῦται, (ἴδε Τεῦχος Β΄. σελ. 65), διὰ τεταμένης παλάμης, ἤτοι διὰ τοῦ Τ. Ἐν τῷ ἑτρουρικῷ ὁ Γόρι καὶ ὁ Buanarotti οὐκ ἀνέγνωσαν, ὡς οὐδὲ ὁ Maffei, ὡς δῆθεν ἀναπληρούμενον τῷ Τ, κἂν ἄλλοι τινὲς ἐσημείωσαν τὸ αὐτὸ οὕτω ἢ καὶ . Οὐ μακρὰν δὲ τοῦ Δ καὶ τὸ ع ἀραβικόν, παραχθέν, ὡς δοκεῖ, ἐκ τοῦ ג ἰουδαϊκοῦ, ἄνευ τῆς λοξῆς γραμμῆς τοῦ κατὰ τὸν Saalschütz φοινικικοῦ . Κατὰ δὲ τὸν Πορφύριον ἐν τῷ φοινικικῷ ἀπαντᾶται καὶ καὶ . Ἐκ δὲ τῶν σιναϊτικῶν σημειοῖ δύο καὶ . Ἐκ τῶν ρουνικῶν δύο ἐσημείωσεν ὁ Ῥυδβέκιος ἀντίστοιχα τοῦ λατινικοῦ D ἀναγόμενα εἰς τὰ προηγηθέντα σχήματα οὕτω καὶ . Καὶ τὸ συρικὸν *ἑστράγγελο* τὸ αὐτὸ τῷ ἰουδαϊκῷ ה πλὴν τῆς ἐντὸς στιγμῆς ἄνωθεν τιθεμένης εἰς διάκρισιν ἀπὸ τοῦ ר (=ρ), ἔχοντος ὕπερθεν τὴν στιγμήν. Τὸ δὲ συρικὸν *πεσχίτο* κεῖται οἱονεί τι ἄμβλωμα οὕτω . Ἐν τῷ σαμσκρητά, πλουτοῦντι διαφόροις φθόγγοις καὶ ἀπηχήσεσι περὶ ταύτην τὴν φωνήν, μόλις ἄν τις εἴποι (μεσάζοντος τοῦ ἀραβικοῦ ἢ ἰουδαϊκοῦ) παρεμφερὲς ὁπωσοῦν τὸ σχῆμα καὶ ἐκ τούτου κατὰ συνέπειαν τὸ γρανθαμικὸν οἱονεὶ ἀντεστραμμένον, τοῦ πρώτου ὄντος κρεμαμένου (ὅρα καὶ ἐν τῷ Τ καὶ Θ).

65. Τὸ Ε. ἒ-ψιλον καὶ σαμαρικὸν = Hé.

ὁ Welsford τρισέλιδον ἱστορίαν ποιεῖ (ἐν σελ. 142—144) τοῦ Ε, ὅπως ἀποδείξῃ, ὅτι οἱ ἀρχαῖοι Ἕλληνες ἐγνώριζον αὐτὸ ὑπὸ τὸ ὄνομα ΕΙ. Ἀλλὰ περὶ τούτου ἡμεῖς λαλήσομεν ἐν τῷ περὶ μεταβάσεως τῶν γραμμάτων εἰς τοὺς Ἕλληνας. Νῦν δὲ σημειωτέον μόνον τὴν γνώμην αὐτοῦ, ὅτι He, the oriental name of the letter, is not significant, or, in other words, does not explain itself, either in hebrew or any other shemitic language, that I can discover. Ὁ Hug (σελ. 27) ὁμολογεῖ, ὅτι οὐκ ἠδυνήθη συμβαλεῖν, τί ἐμφαίνει τὸ σχῆμα (οὐ γὰρ ἔλαβεν ὑπ᾽ ὄψιν, εἰμὴ τὰ ἱερογλυφικά, ὡς εἰκάζοντο τότε, καὶ τὰ φοινικικὰ καὶ τὰ ἀρχαῖα ἑλληνικά, ὧν τὰ μὲν πρῶτα οὕπω ἦσαν πεφωτισμένα ὑπὸ τοῦ Χαμπολλιών, τὰ δὲ δεύτερα καὶ τρίτα, ὡς ἐν χρήσει γενόμενα παρ᾽ ἔθνεσι πολύ τι κομψοτέροις τῶν Σαμαριτῶν, ἔλαβον καὶ ποιάν τινα κομψότητα), ἢ πόθεν ἔσχε τὴν φωνήν, οὔτε τί τὸ ἀντιστοιχοῦν ἐν τοῖς ἱερογλυφικοῖς· «Aus den He oder E weiss ich nichts zu machen, weil mir bestimmtere Weisungen von Seite des Namens abgehen, und auch von Seite der Zeichnung.» Ὁ Saalschütz ἑπόμενος τῷ Ewald παράγει αὐτὸ ἐκ τοῦ הא ἐν σημασίᾳ δῆθεν *ὀπῆς* ἢ *ῥωγῆς*, ἀλλ᾽ οὐδ᾽ οὕτως εὑρίσκει ὁμοιότητά τινα τοῦ ὀνόματος πρὸς τὸ σχῆμα, φέρει δ᾽ ὅμως ἐκ τῶν ἱερογλυφικῶν τρία τινὰ σχήματα, οὕτω καὶ καὶ , καὶ ἐκ τῶν ἱερατικῶν . Ὁ δὲ Hitzig, γράψας αὐτὸ ἐκ τῶν φοινικικῶν οὕτω ἑρμηνεύει θυρίδα, ἤτοι παράθυρον ἐκ τοῦ ﻫ λέγων ἢ ﻉ τῶν ἀραβικῶν (ὅρα §. 68). Ὁ Πορφύριος προσίθησιν ὡς φοινικικὰ μὲν καὶ τὸ καὶ , ἐκ δὲ τῶν σιναϊτικῶν ἓν . Καὶ ὁ Ῥυδβέκιος ἐκ τοῦ ρουνικοῦ ἁπλῆν κάθετον οὕτω I. Ἐν τῇ ἑτρουρικῇ ἐστιν ἀπαράλλακτον τῷ ἑλληνικῷ μικρόν τι κεκλιμέναις ταῖς ὁριζοντείοις γραμμαῖς οὕτω . Ἐν τῷ ἑστράγγελο τῆς συρικῆς ἔστι μέν πως τὸ ἑλληνικὸν ἀλλὰ τὴν ἄνω ὁριζόντειον ἔχει καμπύλην καὶ πρηνές ἐστιν οὕτω παρεμφερὲς ὁπωσοῦν τῷ δευτέρῳ ἱερογλυφικῷ. Τὸ ἰουδαϊκὸν οὕτω ה οἱονεὶ τὸ τρίτον ἱερογλυφικόν, ὡς ἂν ἦν ἐκ τοῦ σαμαρικοῦ ἁπλῶς , τὰς δὲ δύο γραμμὰς ἔχει ἐν μιᾷ, καὶ ταύτῃ οὐ κατὰ χώραν. Ταύτας τὰς δύο γραμμὰς ἐν γωνίᾳ ὅμως ὀξείᾳ ἔχει καὶ τὸ ἀραβικὸν οὕτω ﻫ μετὰ τῆς νέρθεν συστροφῆς οὕτω ﻫ ὡς κἀν τῷ Γ, διαστελλομένῳ μόνῃ τῇ νέρθεν στιγμῇ ὡς ἰδομεν. Ἀλλ᾽ ἡ ἀραβικὴ ἔχει καὶ ἕτερον σημεῖον λεπτοτέρας πνεύσεως, ὅπερ ἂν εἴποις συγκεκλεισμένον καὶ μονόγραμμον συρικὸν οὕτω ﻫ = = συρικῷ = ἢ ἱερογλυφικῷ = = = τρισὶν ἀραβικοῖς ταὐτοφώνοις. Ἐν τῇ αἰθιοπικῇ τὸ πρῶτον στοιχεῖον τοῦ ἀλφαβήτου, λεγόμενον Ὅτι πνεῦμα λεπτόν ἐστιν, ἀντιστοιχοῦν τῷ ἀραβικῷ ﻫ, τὸ δὲ (ἅσ) δασύτερον, ἀντίστοιχον τῷ ἀραβικῷ ﺡ ὡς καὶ δασύτατον τὸ (χάρμ), ἀντίστοιχον τῷ ἀραβικῷ ﺡ = τῷ ἰουδαϊκῷ ח Ἀλλ᾽ οὐδὲν τούτων παρεμφερὲς τῷ σαμαρικῷ , ὅπερ ὅμως διαφαίνεται ἐν τῷ ἑτρουρικῷ ὁμοιομόρφῳ τῷ ἀνωτέρῳ φοινικικῷ = Ε ἑλληνικῷ, ὅπερ, κατὰ τὰς παναρχαιοτάτας ἐπιγραφάς, οἷαι ἡ Σιγεία καὶ ἡ Δηλεία, ὁρᾶται καὶ κεκλιμένον . Ἐν τοῖς κατὰ Χαμπολλιὼν ἀναγινωσκομένοις ἱερογλυφικοῖς κοινὸν σημεῖον τοῦ Α καὶ τοῦ Ε τίθεται, ὡς ἐν τῷ ἑβραϊκῷ καὶ ἀραβικῷ τὸ א ἢ ا, ἀετὸς ἐν ἠρεμίᾳ οὕτως, ὅπερ ἂν εἴη ἀμυδρῶς ἐσκιαγραφημένον ἐν τῷ σαμαρικῷ . Ὥστε περὶ τοῦ σχήματος ἀρκοῦσα ἐγγύησις ἂν εἴη, τοὐλάχιστον παρ᾽ ἡμῖν, τὸ ἱερογλυφικὸν Ε. Καὶ τὸ σαμαρικὸν ὅθεν τὸ ἑλληνικὸν Ε, σημαίνει, ἔκ γε τοῦ σχήματος, πτηνόν τι. Ἐὰν δὲ ὑποτεθῇ εἶναι ἀετοειδές, ὡς δείκνυσι τὸ ἱερογλυφικόν, μεθ᾽ οὗ συγχέεται, κατὰ τὰς τῶν Ἀνατολικῶν παραδόσεις, καὶ ὁ μυθολογούμενος φοίνιξ κατὰ τὸ «ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου» (ψαλμ. ΡΒ΄. 6), εἴη ἂν καὶ ἡ σημασία αὐτοῦ ὡς σύμβολον διηνεκοῦς ἢ ἐνεχούσης ὑπάρξεως καὶ δυνάμεως. Ὁ Γενεβράνδος ἐν τῷ αὐτῷ ψαλμῷ σημειοῖ περὶ τοῦ ἀετοῦ· est enim animantium volucrum vivacissima. Ἀλλὰ καὶ τὴν τοῦ προφήτου Ἡσαΐου (Μ΄. 31) θαυμασίαν παρομοίωσιν τῶν πιστευόντων καὶ ἐλ-

πιζόντων ἐπὶ Κύριον, τὴν ἐκ τοῦ ἀετοῦ, θαυμάζει ὁ σοφὸς Γεσένιος, ἐπιλέγων· schoene Schilderung von der Kraft des Glaubens und Vertrauens. Ἡ δὲ φωνὴ τοῦ Ε μετὰ πνεύματος λεπτοῦ ἐν ἁπάσαις ταῖς γλώσσαις κατάφασίς ἐστι τοῦ ὄντος ἢ τῆς ὑπάρξεως. Ἔστι δὲ προσθῆναι καὶ τοῦτο. Ἐν τῇ ἀραβίδι, ὡς πληρεζάτῃ πασῶν τῶν ἁρμονικῶν, τὸ μικρὸν πτηνὸν ἢ ὁ νεοσσὸς τοῦ ἀετοῦ ἐπονομάζεται ﺃ Ἐθούμ, πιθανὸν ἢ κατ' ἰδίωμα ἢ κατ' ἀποκοπὴν (χάριν συντετμημένης ὀνομασίας) μεμενηκέναι τὸ ὄνομα Ε ἢ Ἐΐ, ἀποκοπέντος τοῦ *ἰθούμ* ἢ *θούμ* (1), ὅπερ βεβαιοῖ καὶ ἡ ἀρχαία αὐτοῦ ἑλληνικὴ γραφὴ ΕΙ, ὡς ῥηθήσεται ἐν τῷ παρ' Ἕλλησιν ἀλφαβήτῳ. Ὠνομάσθη δὲ ἐκ μικροῦ πτηνοῦ, διὰ τὸ εἶναι ἢ εὑρίσκεσθαι καὶ δασύτερον αὐτοῦ τὸ Η, ὥστε σημαίνειν τὴν φωνὴν ἀετίδιον, ὅπερ ἁρμόζει καὶ εἰς τὸ ἱερογλυφικὸν Ε, καὶ ἑπομένως εἰς τὸ σαμαρικὸν 𐤄. Ὅτι δὲ ὁ ἀετοῦ νεοσσὸς ἦν ἐν διαφόροις σημασίαις ἐν τοῖς ἱερογλυφικοῖς, μαρτυρεῖ ὁ Ὡραπόλλων (Β΄. 2).

66. Τὸ ς. ἐπίσημον βαῦ καὶ σαμαρικὸν 𐤆. Σημαίνει δὲ ὀβελὸν ἢ ὄγκην τὸ κατὰ λέξιν. Οὕτω μεταῤῥάζει καὶ ὁ Saalschütz, Haken. Ὁ δὲ Hitzig προστίθησι (σελ. 29) καὶ Nagel ἐπὶ τῇ αὐτῇ σημασίᾳ· ὄνυξ γὰρ κἀν τῇ ἑλληνίδι ὄργανόν τι λέγεται ἀγκύλον τιμωριτικόν. Ἐν τῷ ἰουδαϊκῷ ἡ μορφὴ αὐτοῦ παραστατικωτέρα ן. Περὶ τοῦ γράμματος καὶ τῆς σημασίας αὐτοῦ ἐκτάδην ἐλαλήσαμεν (2) προλαβόντως (Τεῦχ. Ἀ. σελ. 11-13)

(1) Ἔστι δὲ καὶ ἕτερος λόγος τῆς ἐκ τοῦ Εἰθούμ παρωνυμίας τοῦ γράμματος. Τὸ תאם = θὰμ (τὸ γὰρ Τ παρ' Ἑβραίοις ἐπαμφοτερίζει, τῇ μὲν ὡς Τ προφερόμενον, τῇ δὲ ὡς Θ) ἐνικὸν ἐστι τοῦ תומים θουμ-ίμ, αὕτη δὲ ἡ λέξις σημαίνει τὰ ἀδελφά, τὰ δίδυμα, gemelli. Ὥ-ε, ἀνάγνωσθῇ καὶ τὸ ἐνικὸν (κατὰ προφορὰν γλωσσήματος) ἀντὶ θὰμ, θούμ, ὡς καὶ τὸ πληθυντικόν, ἡ σημασία τοῦ Εἰθούμ ἴσαι Ε ι = ἀδελφὸν (διὰ τὸν πνευματισμόν), τίνος; τοῦ Ηεθ = Η δηλονότι. Διὸ καὶ ἐδόθη τὸ ὄνομα ἐκ τοῦ μικροῦ ὀρνέου τοῦ καλουμένου Ε ι θ ο ύ μ, καὶ δηλοῦντος τῇ εἰκόνι αὐτοῦ τὸ Ε ἐν τοῖς ἱερογλυφικοῖς, ὡς εἴδομεν ἀνωτέρω. Ὡς δὲ λέξις χωρισθὲν τὸ θ ο ύ μ ἀπεκόπη τῷ χρόνῳ καὶ ἔμεινε τὸ ΕΙ = F, ὥσπερ ἐν τοῖς ἀρχαιοτάτοις χρόνοις ἐφέρετο κἂν τῷ ἑλληνικῷ ἀλφαβήτῳ, οἷς παράθες καὶ τὴν γνώμην τοῦ Saalschuetz τὸν ἐν τῷ Η.

(2) Οὐκ ἄπο σκοποῦ δὲ προσθῆναι ἐνταῦθα καὶ τὰ ἑξῆς συμβαλλοντα εἰς δεῖξιν τῶν ὅσων ἐλαλήσαμεν (αὐτόθι) περί τε ῥάβδων καὶ ὀβελίσκων, εἰκαστικῶς δὲ προσεθέμεθα ἐκεῖ, ὅτι πάλαι ποτὲ τὰ στοιχεῖα, ἐπὶ εὐχρεῖ μαθήσει τῶν φωνῶν, ἢ διὰ τὸ μὴ ἔχειν ἄλλο γραφῆς βοήθημα, ἢ καὶ διὰ περιττότητα κομψότητος παρίστων τὰ ἀντικείμενα ἁπτὰ διὰ μικρῶν γραμμικῶς τετορευμένων σταλίκων (paxillorum), ἀλλήλοις συνημμένων ἢ ἐμπεπαρμένων, ὅθεν καὶ σήματα ἐλέγοντο. Καὶ οὐδεμία ἀμφιβολία, καθ' ἡμᾶς γε, ὅτι καὶ τὰ σφηνοειδῆ λεγόμενα γράμματα τοιαύτην ἀρχὴν ἔσχον καὶ δὴ καὶ τὰ κεντικὰ ἢ σεντικά. Σύμπασα γὰρ ἡ σφηνοειδὴς γραφὴ ἀρχὴν ἦ, οὕτως εἰπεῖν, στοιχεῖον πρωτόγονον ἔχει τὸ σχῆμα ▬ οὗ τὸ μῆκος, ἡ ἀλλοία θέσις, ἐν γένει μὲν ὁριζοντεία καὶ ὀρθή, σπανίως δὲ λοξή, ἡ ἀλλεπαλλία, ἡ συμπλοκή, κλπ. ποιοῦσι πᾶσαν τὴν γραφικὴν σχηματολογίαν (ὅρα καὶ ἐν πολλοῖς ἄλλοις καὶ ἐν τῷ Journal Asiatique (Janv.-Févr. 1863): La grande inscription du Palais de Khorsabad, par J. Oppert et J. Ménant)

Ἐν δὲ τῇ σινικῇ τὰ δύω σχήματα τὸ 𐤉 καὶ τὸ 𐤋 ὧν παραφυάδες τὸ ▬ καὶ ◠ συμπλεκόμενα καὶ διασταυρούμενα, ὑπεράνω, ὑποκάτω, ἢ πλησίον τιθέμενα κατὰ κλίσεις διαφόρους καὶ μεγέθη ποικίλα, συνήθως μὲν ἴσα σπανίως δὲ καμπύλα, ποιοῦσι πᾶσαν τὴν ὑπεραρίθμον καὶ ἰδιόρυθμον λογογραφίαν τούτου τοῦ ἔθνους. Ἀλλὰ καὶ τῆς νῦν ἰουδαϊκῆς ἡ βαβυλωνικῆς γραφῆς τῶν Ἑβραίων τρία κυρίως στοιχεῖά εἰσιν, ἡ τετράγωνος ἢ ῥομβοειδὴς στιγμή, ἡ εὐθεῖα ˌ ἢ κάθετος ἢ λοξὴ ἢ ὁριζοντεία γραμμὴ εἰς σχῆμα ῥομβοειδὲς ▬ ἢ ἐπιμήκης καὶ σφηνοειδὴς ▬ ἥτις ἐνίοτε καὶ καμπυλοῦται. Ἐπὶ τούτοις δὲ τοῖς τρισὶ στοιχείοις καὶ οἱ καλλιγράφοι γυμνάζονται. Ὥστε ἅπασαι αὗται αἱ γραφαὶ σταλικώδεις εἰσίν. Ἄλλως τε γνωστόν, ὅτι οἱ Γερμανοὶ Buchstaben ὀνομάζουσι τὰ γράμματα, οἱονεὶ στάλικας πυξίου (baculi buxeae). Τὸ γὰρ Buch, εἰ καὶ ὁ φιλολογικώτατος J. G. Wachter, ἐν τῷ Glossar. Germ. continens origines Antiquit. totius linguae Germ., ἐν λέξει, παράγει ἐκ τοῦ Buche, εἴδους δρυός, τοῦ φηγοῦ, ἡμεῖς μέντοι ἔχομεν τὸ πυκ-σίον πλησίον τοῦ Buch, σημαίνοντος ὅθεν baculi buxeae. Ἀκολούθως δὲ ἤρξαντο τὰ σχήματα ταῦτα τῶν γραμμάτων ἐγκολλάπτεσθαι ἐπὶ πινάκων ἢ πλακῶν, λιθίνων ἢ μεταλλίνων ἢ πυξίνων ἢ κυπαρισσίνων. Ἐντεῦθεν πυξία λίθινα, αἱ μωσαϊκαὶ πλάκες. Καὶ ὁ Πλάτων (Πολιτείας Ε΄) ἐπαιζε λέγων κυπαριττίνας μνήμας. Καὶ ὁ Ὡράτιος περὶ τῆς τῶν ἀρχαίων ἀρετῆς, ὡς ἐνασχολουμένων ἀεὶ εἰς χρήσιμα λέγει (De arte poetica, 399) ξύλῳ ἐγκολάπτειν νόμους.

leges incidere ligno

Ἀκολούθως αἱ πλάκες αὗται ἠλείφθησαν ἢ κηρῷ ἢ πίσσῃ, ἐγχαραττομένων τῶν γραμμάτων στιλιδίῳ, ἕως οὗ ἀντικατέστη ἡ βίβλος ἤτοι οἱ φλοιοί (ὅθεν καὶ χάρτης ἐκ τοῦ حرط φλοΐζω καὶ γράμμα ἀραβιστὶ حرف ἐκ τοῦ χαράσσω καὶ γράφω) καὶ τὰ φύλλα τῶν δένδρων, μάλιστα τῶν φοινίκων, εἶτα δὲ καὶ αἱ διφθέραι καὶ οἱ ὑμένες περιτόναιοί τε καὶ ἐντερικοί (ἱστορεῖται δέ, ὅτι ἐν Κωνσταντινουπόλει ἐσώζετο πᾶσα ἡ Ἰλιὰς ἐπὶ ἐντέρου δράκοντος γεγραμμένη). Ἐπηκολούθησε δὲ ὁ πάπυρος καὶ τέλος ὁ κοινὸς χάρτης, εὑρεθέντος πρωΐμως καὶ τοῦ μέλανος.

οὕτω 𐤂. Ὁ δὲ Ρυδβέκιος ἀντιβάλλει ἐν τοῖς ρουνικοῖς τὸ σχῆμα ᚴ εἰς τὸ F = ﻑ ἀραβικόν. Παρὰ τοῖς ἀρχαιοτάτοις Ἕλλησι, καὶ ἰδίως τοῖς Αἰολεῦσιν, ἐγνώσθη ὑφ' ἑτέραν μορφήν, τὴν τοῦ F, οὖσαν τὴν αὐτὴν καὶ ἐν τῷ φοινικικῷ κατὰ τὸν Hitzig οὕτω 𐤋, ὅπως σώζεται καὶ ἐν τῇ λατινίδι τηροῦν τὴν οἰκείαν θέσιν ἐν τῷ ἀλφαβήτῳ. Ὡς ἔχον δὲ ὄψιν δύο ὑπερτεθειμένων Γ ὠνομάσθη καὶ *δίγαμμα*, δύναμιν ἔχον οὐχὶ πνεύματος λεπτοῦ ἢ δασέος, ἀλλὰ παχυφωνίας τινός, grassayement. Καὶ ἐν πολλοῖς μέρεσιν οἱ ἡμέτεροι χωρικοὶ προφέρουσιν ἀρχαϊκῶς τὸ θεός, θεFὸς καὶ τὸ γυρεύω, γυρεύFω, διπλασιάζοντες τὸ παχύνον F, ὅπερ πληροῖ οὕτω τὸ μεταξὺ δύο φωνηέντων χάσμα καὶ οὗπερ ἐν τοῖς ποιήμασι τοῦ Ὁμήρου, κατά γε τὴν μετρικήν, πολὺς ἤδη γίγνεται λόγος. Ἀλλὰ περὶ τούτου ῥηθήσεται καταλληλότερον καὶ ἐν τῷ περὶ μεταβάσεως τοῦ ἀλφαβήτου παρ' Ἕλλησιν. Ἐν τῇ συρικῇ *ἐστράγγελο* οὕτω 𐤊 καὶ *πεσχίτο* αὐτόχρημα Ο. Τούτου δὲ διχοτομηθέντος εὐθείᾳ Φ μορφοῦται τὸ αἰθιοπικὸν Βαῦ, οὗ ἰσόφθογγον καὶ ὅμοιόν πως τὸ 8 σεσημείωται τῷ Γόρι ἐν τοῖς ἀμφιβόλοις ἑτρουρικοῖς. Τὸ δὲ ἀραβικὸν γράφεταί πως οὐκ ἀνόμοιον τοῦ ἰουδαϊκοῦ οὕτω 𐤅. Ἐν τοῖς ἀναγνωσθεῖσιν ἱερογλυφικοῖς εὑρίσκεται ἔχον σχῆμα ἀνούρου πτηνοῦ  καὶ ἐκφωνεῖται ου. Τὸ δὲ σύμπλεγμα προφέρεται τουτ καὶ σημαίνει εἰκόνα ἢ τὸν θεὸν Τὼθ ἢ Θεῦθ ἢ τὴν Ἶβιν. Ἡ δὲ θεότης αὕτη γράφεται καὶ συμβολικῶς

οἰκ. Η΄.

(Οἰκ. Η΄.) Τουθ-Μησ (ὅρα Πίνακα Ἀβύδου παρὰ M. W. Brunet de Presle Recherches Egyptiennes σελ. 194. οἰκ. 20). Ἐν τοῖς ἱερογλυφικοῖς προφέρεται ἐπίσης καὶ ὡς *υ* ἢ *ϐ* ὑπὸ τὸ σχῆμα ﻕ παρεμφερὲς τῷ ἀραβικῷ βαῦ, ὡς ἐν τῷ Αὐτοκράτωρ (Τεῦχ. Β΄. σ. 65. οἰκ. Δ΄). Ἀλλ' οὖν ὡς ἐκ τῆς προηγηθείσης (§. 65.) μορφῆς 𐤃 τοῦ ἱερογλυφικοῦ Ε εἰκάζω ταύτην τὴν μορφὴν ﻕ ἐν τῷ Αὐτοκράτωρ εἶναι πνευματισμοῦ ἐλαφροῦ σημεῖον μᾶλλον, ἢ αὐτόχρημα Βαῦ = ου ὡσανεὶ Αὐτοκράτωρ. Ἐν τῷ σαμσκρητὰ συγχέεται τῷ βραχμανικῷ Β ﺏ ὡς καὶ παρ' ἡμῖν. Ἔστι δὲ καὶ ἐν τῷ γρανθὰμ 𑌵 οὐ μακρὰν τοῦ λατινικοῦ V = τῷ ἑλληνικῷ υ τροχαλῷ.

67. Τὸ Ζ. ζῆτα καὶ σαμαρικὸν 𐤆. Ὀνομάζεται δὲ ζάϊν πλησίον τοῦ ἀραβικοῦ ζέϊν ﺯ τοῦ σημαίνοντος κυρίως μὲν *στολισμόν*, κατὰ δὲ μεταφορὰν καὶ ἅρματα, ἐν τῷ ἑβραϊκῷ, ὡς ὄντα στολισμὸς ἀνδρί. Ἀλλὰ καὶ τὰ ἐφίππια καὶ οἱ ζωστῆρες τῶν ἵππων καὶ πάντα τὰ ἐξ ἱμάντων περιάμματα αὐτῶν, κἄν τε μονοφόρων κἄν τε ἐζευγμένων, ὀνομάζονται τῷ αὐτῷ ὀνόματι ζέϊν. Ὁ Saalschütz ἑρμηνεύει Schwert, σπάθην, ἢ ἁπλῶς Waffe, ἄρμα. Ὁ δὲ Hitzig, ἑρμηνεύει Hippe, δρέπανον. Ἡ οὐσία τοῦ γράμματος ἐφεδράζει, ὡς δοκεῖ, εἰς γυμνὸν τὸ σχῆμα 𐤆. Αἱ δὲ δύο ὑπόλοιποι λαμβδοειδεῖς γραμμαὶ δοκοῦσιν ἀνάλογοι τοῖς ἐν τῷ αὐτῷ ἀλφαβήτῳ ἐπὶ τοῦ ﻝ οἱονεὶ ὑποσᾶται. Καὶ πάντως ἔν τε τῷ σλαυϊκῷ καὶ τῷ γερμανικῷ ἀλφαβήτῳ ἔχει σχῆμα ζ παραγόμενον ἐκ τοῦ τροχαλοῦ ζ ἀντεστραμμένου. Ἐν τοῖς ἱερογλυφικοῖς, κατὰ τὴν ἀνάγνωσιν τοῦ ἐν Πηλουσίῳ ψηφίσματος, γενομένην ὑπὸ Χαμπολλιών, ἡ φωνὴ τοῦ τζ ἐν τῷ τζὲτ (= ᾰε.) σημειοῦται διὰ τοῦ ὄφεως οὕτω 𓆑. Καθ' ὅσον ὁ ὄφις, ἐν ποιᾷ τινι θέσει ὅμως, σημαίνει καὶ τὸ ἀεὶ ἢ αἰώνιον (Ὡραπόλλων Α΄. 1.). Πιθανὸν λοιπὸν ἡ φωνὴ τοῦ ζ, οὖσα πλησίον τῆς τοῦ τζ, ὡς καὶ παρὰ τοῖς Ἰταλοῖς καὶ ἑτέροις δυτικοῖς ἔθνεσιν, ἐσημαίνετο διὰ τοῦ αὐτοῦ σημείου 𓆑. Διότι καὶ παρ' ἡμῖν οὐ πρὸ πολλοῦ τὸ τσ, τὸ τζ, τὸ δζ (= τῷ ﻫ σλαυϊκῷ) καὶ αὐτὸ τὸ ζ ἐγράφοντο συγχεχυμένως, ὅπως καὶ παρὰ Λατίνοις· Antiquitus Latini antequam Z admitterent G pro eo usurpabant (Jos. Scalig. Animadv. in Chronol. Eusebii, σελ. 105). Ἕκαστος δ' ὁρᾷ, ὅτι καὶ ἡ μορφὴ 𓆑 πολὺ παρεμφερής ἐστι τῆς ἀνωτέρω σημειωθείσης 𐤆 = ζ, ὡς καὶ τὸ ἐν τῇ ἑλληνικῇ ὄνομα αὐτοῦ ἔχει, μεῖναν, ὡς δοκεῖ, ἐξ ἑτέρου ἀλφαβήτου, περὶ οὗ ὕστερον. Οὐ μακρὰν δὲ τούτου τοῦ ὀφιοειδοῦς ζ καὶ τὸ ἰουδαϊκὸν ἔχον οὕτω ז (ζάϊν). Ἀλλ' ἐν τῇ συρικῇ γραφῇ σχεδὸν κάθετος γραμμή ἐστι. Τοιαύτην γραμμὴν καὶ ἐκ τῶν σιναϊτι-

κῶν ἐπιγραφῶν σημειοῖ ὁ Πορφύριος. Ἀλλὰ καὶ τὸ ἀρχαῖον ἑλληνικόν, ὡς γράφει ὁ Hitzig ἐν τῷ πίνακι, ἐστὶ κάθετος, μικρὸν τὰς ἄκρας ἐγκαρσίοις γραμμιδίοις σημειουμένη οὕτω I. Καὶ εἶπεν ἄν τις, τῶν γραμμιδίων ἐπεκταθέντων, ἔχομεν τὸ γράμμα οὕτω H περὶ οὗ ὕστερον. Μᾶλλον γὰρ ἀναλογικὸν εἰπεῖν, ὅτι αἱ δύο παράλληλοι, ἀντὶ τοῦ ζευχθῆναι λοξῶς, συνεζεύχθησαν καθέτως. Ὁ Saalschütz ἡρμήνευσε τὴν φωνὴν *σπάθηr* καὶ ὁ Hitzig *δρέπαror*, ὡς προείπομεν. Ἀλλ' ὁ πρῶτος σημειοῖ ἐν τῷ πίνακι ἑπτά που ἱερογλυφικά, ὧν οὐδὲν ἔχει μορφὴν σπάθης ἢ δρεπάνου. Ἅπασαι δ' αἱ ἱερογλυφικαὶ γραφαὶ φέρουσι τύπον ⊏⊐ ἢ ⊸⊸ ἢ ⊣⊢ ἢ καὶ ⊸⊸ ἢ καὶ τέλος ἐν μόνον ⊸ ἀνάλογον τοῦτε ἰουδαϊκοῦ καὶ ὅμοιον τοῦ συρικοῦ καὶ ἀρχαίου ἑλληνικοῦ. Εἴληπται δὲ ταῦτα ἐκ τῆς ζώνης τῶν ἀσιανῶν γυναικῶν, ἢ καὶ οἵαν ζώννυνται οἱ ἱερεῖς ἡμῶν ἱερουργοῦντες· ἔστι δὲ τοῦτο ἔθος πανάρχαιον ἐν τῇ ἀποστολικῇ ἐκκλησίᾳ, λείψανον τῆς στολῆς τῆς βρώσεως τοῦ Πάσχα. Φοροῦσι δὲ τοῦτο καὶ οἱ πεπαιδευμένοι τῶν Μοχαμεδανῶν, οἵτινες οὐ σπανίως καὶ μονοκέφαλον φέρουσι τοιαύτην ζώνην οὕτω ⊂ συζευγνύντες αὐτὴν μετὰ τῆς οὐραίας πορπίδος καὶ τοῦτό ἐστι τὸ ἐν τοῖς ἱερογλυφικοῖς μονοκέφαλον ⊸ =ζ. Ἡ δὲ ζώνη ἀληθῶς στολίζει τὸν ἄνθρωπον, μάλιστα παρὰ τοῖς Ἀσιανοῖς, ὧν ὁ ἱματισμὸς πλατύς, διὸ καὶ αἱ ἐκ τῆς ζώνης πτυχαὶ (σοῦρραι) λέγονται ἑλληνιστὶ στολίδες· ἐκ μεταφορᾶς δὲ καὶ αἱ ῥυτίδες τοῦ προσώπου εὐφήμως στολίδες ἀκούουσι· λέγεται δὲ καὶ كشكش κοσκόσκ ἤτοι ἐστολισμένος, ἐν οἰκιακῇ ἐκφράσει. Συχνὸν δὲ καὶ ἐν τῇ Γραφῇ τὸ «ζῶσον τὴν ὀσφῦν σου» ἤτοι συστάλθητι καὶ κόσμησον σεαυτόν. Οἱ ζωστῆρες τῶν πολεμιστῶν ἦσαν, ὡς δοκεῖ, δακτυλίους πλάκας φέροντες ἢ ἐλάσματα ἐκ διαφόρων λαμπρῶν μετάλλων.

Οὐδ' ἔτορε ζωστῆρα παναίολον, ἀλλὰ πολὺ πρὶν
Ἀργύρῳ ἀντομένη, μόλυβος ὡς ἐτράπετ' αἰχμή.
(Ἰλ. Α'. 237.)

Ἀλλὰ καὶ τὸ ἐπίθετον *παναίολος* (Ἰλ. Δ'. 186.) δείκνυσι τὴν ποικιλίαν καὶ τὸ κομψὸν τῆς ζώνης. Ἀλλαχοῦ δέ που (Ἰλ. Η'. 305.) κεχρωματισμένον καὶ λαμπρὸν περιγράφει τὸν ζωστῆρα «φοίνικι φαεινόν». Τοιαύτας ζώνας ἐξ ἐλασμάτων ἀργυρῶν ἐγκεκαυμένων χρώμασι ποικίλοις ὁρῶμεν μέχρι τῆς σήμερον εἰς τὰς γυναῖκας τῶν χωρικῶν τῆς Θράκης. Ἐντεῦθεν καὶ οἱ ἱμάντες τῶν διφρίων ἵππων καὶ τῆς ξυνωρίδος, οἷον ζωστῆρες, χαλινοί, ἕλκυθρα κλπ. *ζέϊr* (harnais) ὀνομάζονται, καὶ ὁ ἀφοπλισμὸς ὅλος τοῦ πολεμιστοῦ, τὸ ἅρμα, «ἀρήϊα ἔντεα» *ζέϊr* λέγονται. Οὐδαμῶς οὖν ἄπο ἀναλογίας καὶ τὴν ζώνην λέγεσθαι *ζέϊr* ϛολισμόν, καὶ ϛολισμὸν διὰ προσαρτημάτων ἢ καὶ ἐγκολαμμάτων, ὡς ἡμεῖς ἐξελάβομεν ἑρμηνεύοντες τὸ ἀλφάβητον (Τεῦχ. Α'. σελ. 11.§. 37).

Τὸ δὲ ἐκ δύο τμημάτων ζ = ⊏⊐ ἢ ⊸⊸ ὅπερ μονοκέφαλον γράφεται οὕτω ⊸● (1) καὶ συνημμένων τῶν δύο κεφαλῶν οὕτω, ⊸⊸ ἀνέγνων ἐν τῇ ῥηθείσῃ θαυμασίᾳ περιγραφῇ τῶν αἰγυπτιακῶν λειψάνων ὑπὸ τῆς εἰς Αἴγυπτον ἀποσολῆς τῶν σοφῶν Γάλλων (Expédition etc. Τόμ. Α'. Ile de Philae), ἔνθα (planche 25 ἐν ἡμετέρῳ οἰκίσκῳ Θ'.) ἀναγινώσκεται ἐν παχυστομίᾳ βαρβαρικῇ τὸ Καίσαρος ΚΙΖΡΖ μετὰ

Οἰκίσκος Θ'.

τῆς ἐπαγομένης συνήθους εὐχῆς «τζέτε ἄχν βὰ Πτὰχ» (*αἰωροβίου*, ὡς ἑρμηνεύεται ἐν τῇ στήλῃ Πηλουσίου ἐν *ΦθαΗ*) (2). Καί μοι σημείου τὸ ὄνομα Καίσαρος γραφόμενον ΚΙΖΡΖ. Παρὰ γὰρ τοῖς Ἀσιανοῖς οὐ μόνον τὰ σύμφωνα παχυστομοῦνται, ἀλλὰ καὶ τὰ φωνήεντα οὐ κατὰ μοῖραν τίθενται, ὅτι ἀήθης αὐτοῖς ἡ γραφὴ αὐτῶν. Ἐν τῷ τετάρτῳ οἰκίσκῳ ὅμως τοῦ αὐτοῦ τεύχους καὶ τοῦ Ἑ. πίνακος καὶ ἐν τῇ αὐτῇ λέξει *Καίσαρος* εὑρίσκεται τὸ πρῶτον ζ

(1) Παρατηρητέον ἐνταῦθα ὅτι τοῦτο τὸ ζ ἀνεγνώσθη ἐν πολλοῖς ἡμαρτημένως ὡς ⊂ =σ, ὅπερ ἐξὶν ἴσως ὁ γεννήτωρ τοῦ ἡμετέρου ἐκκλησιαστικοῦ C. Γραφὲν δὲ C κατὰ τοὺς χρόνους τῶν Πτολεμαίων μετέβη εἰς τὴν σλαυϊκὴν γλῶσσαν. Πολὺ δὲ πλησίον ἐστὶ τοῦ γραμμικοῦ ἱερογλυφικοῦ τοῦ σάμεχ ἡ C οὕτω γραφομένου Ϲ.

(2) Ὁ ΦθαΗ ἢ Πτὰχ ἢ καὶ ἁπλῶς Φθᾶ, ὃν καὶ ἄλλως Κνὲφ ὀνομάζουσι, σημαίνει τὸν Ὕψιστον Νοῦν. (Ὁρα **Sainte Croix Mystèresdu Paganisme**, ἔκδ. **Sylvestre de Sacy, Paris, 1817**. Τόμ. Ι'. σελ. 8.). Ὅθεν καὶ τὸ δὲ Πτὰχ σημανεῖ τὸ σὺν θεῷ. Ἀλλ' ἐπειδὴ τὸ ἀραβικὸν ڤ συγγενὲς τῷ αἰγυπτιακῷ Πτὰχ σημαίνει πρὸς τοῖς ἄλλοις καὶ τὸ ἄρχεσθαι καὶ τὴν ἀρχήν, καὶ δὴ καὶ τὸ κατορθοῦν καὶ νικᾶν, فتح ἐνταῦθα ἥδέως ἂν ἐξέλαβον ἐν Νίκῃ, ὡς ἂν ἔλεγεν αἰωνοβίου, νικητοῦ, κοινὸν πρόσρημα τοῖς βασιλεῦσι.

(1) Ἴσως ὁ γενόμενος αὐτοκράτωρ περὶ τὰ 244 Μ. Χ. Ὅθεν συμπεραίνειν δυνάμεθα, ὅτι ἕως τότε, ἴσως δὲ καὶ μίαν ἢ δύο ἑκατονταετηρίδας κατώτερον, ἡ ἱερογλυφικὴ γραφὴ ἦν ἐν χρήσει δημοσίᾳ. Ἐπειδὴ ὁ Etienne Quatremère (**Recherches Critiques et Historiques sur la langue et la litterature de l'Egypte, Paris, 1808**, σελ. 8.) ἐκ τοῦ Καπιτωλίνου ἀναφέρει, ὅτι οἱ στρατιῶται τοῦ Γορδιανοῦ Γ', τοῦ διαδεξαμένου τὸν ῥαθέντα Φιλίππαν (238), ἐπέγραψαν τὸ ἐπιτύμβιον αὐτοῦ γράμμασιν ἑλληνικοῖς, ῥωμαϊκοῖς, περσικοῖς, ἰουδαϊκοῖς, καὶ αἰγυπτιακοῖς. Ἀλλ' οὐδόλως βέβαιον εἰ ταῦτα ἦσαν ἱερογλυφικὰ ἢ δημοτικὰ ἢ καὶ κοπτικά. Σὺν πᾶσι τούτοις, ἐπειδὴ τὸ τοῦ Φιλίππου ὄνομα φέρεται ἱερογλυφικοῖς γράμμασιν, εἰκὸς συμπεραίνειν, ὅτι καὶ τὸ ἐπιτύμβιον ἦν ἱερογλυφικῶς ἐγκεχαραγμένον. Ὅπως δ' ἂν ἔχοι τὸ πρᾶγμα, κατ' ἐκείνους τοὺς χρόνους, ἕνεκα τῆς προόδου τῆς κοπτικῆς καὶ τῆς ἑλληνικῆς γραφῆς, ἣν ἐνηγκαλίσθη καὶ ὁ χριστιανισμός, ἦσαν πολὺ ἠμελημένα τὰ ἱερογλυφικά, καὶ πολλὰ παραφωνα εἰσήχθησαν εἰς τὴν γραφὴν ἢ καὶ εἰς τὴν μεταγραφήν, ἐξ ἧς ἡμεῖς ἐλάβομεν.

Οἰκίσκος Ι'.

(ἡμέτ. οἰκ. Ι'.) ὀρθῶς ἤτοι σ= ⊂ γραφόμενον οὕτω ΚΙΣΡΖ. Ἀλλὰ τὸ ἐν τῇ ἀρχῇ τοῦ οἰκίσκου ⌒ ἀναγινώσκω ■, ὥστε εἶναι τὴν πρώτην αὐτοῦ λέξιν οὐ Τλβιζ, ἀλλὰ Πλβιζ, ἤτοι Φίλιππος (1). Ἀλλ' ἐπανέλθωμεν εἰς τὸ ζ. Τὰ δύο τμήματα αὐτοῦ, ἀντὶ τοῦ κεῖσθαι ὁριζοντίως, εἰσὶν ἐν τῇ ἑλληνικῇ ὑπερτεθειμένα παραλλήλως καὶ συνεζευγμένα οὕτω Z διὰ λοξῆς γραμμῆς, ὡς εὕρηται καὶ ἐν τῇ φοινικικῇ γραφῇ. Ἐν δὲ τοῖς ἀρχαίοις νομίσμασιν, οἷα τὰ τῆς Κυζίκου, συνενοῦνται σπανίως καὶ διὰ καθέτου οὕτω I. Ἐν δὲ τῇ αἰθιοπικῇ αἱ δύο γραμμαὶ εἰσὶ κάθετοι συνεζευγμέναι δι' ὁριζοντίου οὕτως H ὡς ἀνεγνώσθη ἐν τῇ περσικῇ σφηνοειδεῖ οὕτω |>>| κατὰ τὴν ἑρμηνείαν τοῦ σοφοῦ Γροτεφένδ. Ἂν δέ τις λάβῃ κατὰ νοῦν τοὺς θαυματοποιοὺς (jongleurs) τῆς ἀρχαίας καὶ νεωτέρας Αἰγύπτου, ζωννυμένους ὄφεις ἐπὶ φόβῳ τῶν θεατῶν, ὅθεν καὶ τὸ κοινὸν «ἐζώσθη εἰς τὰ φείδια», οὐκ ἀπιθάνως εἶπεν ἄν, ὅτι τεχνῖται ἐμιμοῦντο καὶ ζώνας ὀφιοειδεῖς, ἐχούσας τὰς πορπίδας ἢ δύο ἀντιθέτους ὄφεων κεφαλὰς ἢ καὶ μίαν μόνην. Οἴδαμεν δέ, ὅτι καὶ τὴν σήμερον αἱ κυρίαι φέρουσι περιτραχήλια *βόας*, ἔτι δὲ καὶ δακτύλια ἢ βραχιόνια ἐπὶ στολισμῷ ὀφιοειδῆ. Ἄλλως ἐν τῇ ἀραβίδι ὁ ὄφις μεταξὺ ἄλλων πολλῶν ὀνομάτων κοινότερον ὀνομάζεται καὶ χάϊ ⊃ ἐκ τῆς αὐτῆς ῥίζης ἐξ ἧς καὶ ἡ ζωὴ ⊃ا χαϊάτ. Διὸ καὶ τὸ αἰώνιον δι' ὄφεως σπειρωτοῦ, οἱονεὶ ζωννύντος, ἐμφαίνεται κατὰ τὸν Ὡραπόλλωνα (Βιβ. Α'. Κεφ. ά.). Ὅθεν καὶ τὸ κρέας ἰδίως τῆς ἐχίδνης ὡς μάλιστα ὑγιεινὸν καὶ μακρᾶς ζωῆς παρεκτικὸν ὑπολαμβάνουσιν οἱ κοινοὶ ἀνέκαθεν· «προσιστοροῦσι δὲ ἔνιοι καὶ μακρογήρους γίγνεσθαι τοὺς ἐσθίοντας αὐτάς (Διοσκουρ. Βιβ. Β. κεφ. ιϛ'.)». Διὸ καὶ τὸ τζέτε (=ἀεὶ) ἀνωτέρω ἐγράφη ἱερογλυφικῶς τῷ ὄφει οὕτω ⌒. Πολλὰ γὰρ κατὰ πρόληψιν, ὡς καὶ ἀνωτέρω ἐλέγομεν περὶ τῶν ὀνειροκριτικῶν, εἰσήχθησαν ἐκ τῶν ἱερογλυφικῶν καὶ εἰς τὸ θρήσκευμα καὶ εἰς τὴν ἰατρικὴν καὶ εἰς τὰς μαγγανίας. Ἐξέστω δέ μοι ποιῆσαι καὶ τὴν ἑξῆς τήρησιν· ὅτι *ζώνη* οἱονεὶ *ζεόνη* ἢ δσεόνη (οἱονεὶ ἐκ τοῦ δέω) πολὺ πλησίον ἐστὶ τῷ ζέϊν, ἐξ οὗ καὶ παροιμιακὸς λόγος, *ζῇ καὶ ζώννυται*, ἤτοι ζῇ καὶ στολίζεται. Ἐν τῷ σαμσκρητὰ οὐδὲν γράμμα ἐκφωνεῖται ὅπως τὸ ζ. Εὕρηται δ' ὅμως ἐν τῷ γραν-θὰμ τὸ 2 φθογγαζόμενον ὡς τὸ Z ἐν τῇ ἰταλικῇ εἰς τὴν λέξιν pezzo (ὅρα ⅄).

68. Τὸ Η. ἦττα καὶ σαμαρικὸν ⅄ χέθ. Ἐκ πρώτης ὄψεως φαίνεται εἶναι τὸ ἀνωτέρω ⅄ (=Ε) μεθ' ὑποσάτου ⅄ ὡς καὶ ἐν τῷ Σ ὀψόμεθα. Ὥστε τὰ δύο πνεύματα, ψιλὸν καὶ δασύ, κατὰ τὴν ἀρχαίαν τῶν πατέρων προφοράν, χαρακτηρίζονται μικρᾷ τῇ διαφορᾷ ὑπὸ τοῦ αὐτοῦ γράμματος ⅄ ὡς καὶ ἐν τῷ ἰουδαϊκῷ ח καὶ ח. Διὸ καὶ ὁ Hug βουλόμενος ἀποδοῦναι λόγον τίνος ἕνεκεν τὸ δασὺ τοῦτο ἐλλείπει ἐκ τοῦ φοινικικοῦ ἀλφαβήτου λέγει (σελ 11)· Sind nur in die Aufstuffung des Hauches ungleich, ἤτοι διαφέρουσι μόνον τῷ βαθμῷ τῆς πνεύσεως. Εἰ καὶ ἡ αἰτιολογία ταύτης τῆς ἐλλείψεως οὐκ ἔρρωται, λεγομένη οὕτως ἀντιβί-

Ἔτι δὲ καὶ ὁ σοφὸς κ. W. Brunet de Presle (Examen critique de la succession des Dynasties Egyptiennes, Paris, 1850, σελ. 169) ἐσημείωσε τοιαῦτα σφάλματα καὶ εἰς παναρχαιοτάτας ἐπιγραφάς.

ως εἰς τὸ ἦθος τῶν σημικῶν γλωσσῶν (τότε γὰρ οὔπω ἐξιχνίαζο ἅπαν τὸ ἀλφάβητον ἐκ τῶν νομισμάτων καὶ ἐπιγραφῶν), συμβάλλει ὅμως ἀρκούντως εἰς τὸ ἡμέτερον προκείμενον, ὅτι δηλονότι τὸ ἐστὶν αὐτὸ τοῦτο τὸ . Σὺν πᾶσι τούτοις εἰδέναι ὀφείλομεν, ὅτι τὸ φοινικικὸν ἀλφάβητον μετὰ τὸν Hug (ἔγραφε γὰρ περὶ τὴν ἀρχὴν τῆς παρούσης ἑκατονταετηρίδος) ἐξηκριβώθη πολὺ ὑπὸ τῶν σοφῶν καὶ ἰδίᾳ τοῦ Kopp, τοῦ Γεσενίου καὶ ἑτέρων, καὶ ἥδη ἀναγινώσκεται πλῆρες (ὅρα καὶ Cyclopaedia of biblical litterature τοῦ Kitto ἔκδ. β΄. Τόμ. Α΄. σελ. 120, ἔνθα τὸ Ε καὶ τὸ Η ταὐτὰ εἰσι σχεδὸν τοῖς σαμαρικοῖς, χαρακτηριζόμενα οὕτω καὶ).

Παρὰ δὲ τῷ Hitzig σημειοῦται καὶ οὕτω . Ὁ δὲ Welsford ἐκ τῶν παρὰ Dutens καὶ Rose νομισμάτων γράφει κἀν τῷ ἑλληνικῷ αὐτῷ τῷ ἀρχαίῳ. Καὶ τί μὲν σημαίνει τὸ ὄνομα εἴπομεν προλαβόντως (Τεῦχ. Α΄. σελ. 13. § 39), ἀλλ' οὐ περιττόν, ἵνα κἀνταῦθα ἐξηγηθῶμεν σαφέστερον. Ἄν τις λάβῃ κατὰ νοῦν, ὅτι ἐν τοῖς αἰγυπτιακοῖς γράμμασι τὸ δασὺ τῆς πνεύσεως ἀνεγνώσθη ὑπὸ Χαμπολλιών, ἐν τοῖς ἱερογλυφικοῖς τοῦ Πηλουσιῶτου ψηφίσματος, σημειούμενον διὰ δύο γραμμῶν (ﺡ χὰτ) πλεκτῶν, ἐμφαινουσῶν δύο κλώσματα, ἐν τῷ ὀνόματι τοῦ ΦΘαΗ ἢ Πτάχ, οὕτω εὑρήσει τὴν ὀνομασίαν τοῦ δασέος Η προσφυῶς ἐμφαινομένην τῷ ﺡ σημαίνοντι μὲν τὴν γραμμήν, ἢ κλωστήν, ἢ κρόκην, ἢ μήρινθον καὶ τὰ παρόμοια, ἔχοντι δὲ καὶ τὴν ἀνάλογον πνεῦσιν (ὅρα καὶ De Rosny, Ecriture figurative σελ. 44). Ἀληθὲς μὲν ὅτι ἡ λέξις ἀναλογικῶς σημαίνει, κατὰ μὲν τὸν Saalschütz, Verzaünung, *φραγὴν* ἁπλῶς, κατὰ δὲ τὸν Hitzig, συνωνύμως πως Pferch, *περίφραγμα μάνδρας*. Ἐκ τῆς ἀναλογίας δ' ὅμως τοῦ ἄν τις εἴπῃ, ὅτι καὶ πτηνόν τι εἶχεν ὄνομα παρεμφερὲς ἀπὸ πνεύματος δασέος ἀρχόμενον, οἷον ἔχει τὸ τετράπουν ﺡ χούτ, ὅπερ οἱ λεξικογράφοι *αἴγαγρον* μεταφράζουσιν, οὐκ ἂν ἀπίθανα λέγοι. Ἔχομεν δὲ καὶ πτηνὸν ἐξ ἐλαφροτέρου πνεύματος ὀνομαζόμενον, οἷον ﻫﺪﻫﺪ ὁ ἔποψ. Καὶ κατὰ συγκυρίαν ﺣﻴﺜﺎ ἤτοι Ηιττᾶ (τοῦ Η προφερομένου δασέως οἷον χίττα) σημαίνει μακρόλαιμον τρουθοκάμηλον خيطاء بوتى λέγει ὁ μεταφραστὴς دبور قوشه اولان دوه اوزون τοῦ Καμοῦς ἐν λέξει. Ἔχει δὲ πάντοτε ἡ ῥίζα τὴν σημασίαν τῆς γραμμῆς ἢ σειρᾶς· ὅθεν καὶ *σειρᾶς* στρουθοκαμήλων ὡς ἐθίζουσι ταῦτα τὰ πτηνὰ νέμεσθαι, ἢ καὶ ἀκρίδων (παρὰ τῷ αὐτῷ λεξικογράφῳ). Ἴσως δὲ καὶ ὁ πατὴρ τοῦ ἀλφαβήτου, ἀφορῶν εἰς τὴν σειρὰν τῶν γραμμάτων, ἔθετο τοῦτο τὸ περιεκτικὸν ὄνομα. Οὐκ ἀδύνατον λοιπὸν ἀποδοῦναι λόγον ἀποχρῶντα τῆς σχέσεως τῆς μορφῆς πρὸς τὸ ὄνομα καὶ τὴν σημασίαν. Καὶ δὴ τό τε (=ε ψιλόν), ἐμφαῖνον πτηνὸν κατά γε μορφὴν καὶ ἔννοιαν, ὡς καὶ τὸ ἱερογλυφικὸν ἀφίστανται πολὺ τῆς ἰδέας τοῦ *φραγμοῦ*. Ἀλλὰ καὶ τὸ συρικόν, καί τοι μακρόθεν, συμβιβάζει ὅμως πολὺ τὴν παρ' ἡμῖν προβαλλομένην ἐκδοχήν. Γράφεται γὰρ οὕτω. . Καὶ ἐπανορθούμενον ἔξει μὲν ὁπώσποτε ἀμυδρὰν ἰδέαν πτηνοῦ, ἀναλόγου τῷ ἐν τῷ σαμαρικῷ πλὴν τοῦ ὑποσάτου, ὀφθήσεται δ' ὡς ἄμβλωθρον τοῦ καὶ οὐδέποτε *φραγῆς*. Ἴσως δὲ οὕτω συμβιβάζεται καὶ ἡ ὑπὸ τοῦ Saalschütz (σελ. 51—54) ἐκτάδην ἑρμηνευομένη περὶ τοῦ Ε καὶ Η γνώμη. Λέγει γάρ· Bei der grossen Aehnlichkeit des ה und ח sowohl der Gestalt als dem Laute nach, liegt dem Gedanke nicht fern, dass beide anfænglich nur durch ein Zeichen, næmlich das des Chat, von dem sich der Name und ein demselben entsprechendes characteristisches Bild erhalten hat, vertretten wurden κτλ. Ἐκ τούτου δὲ συμπεραίνει, ὅτι μόνη ἡ προφορὰ διέστελλε ταῦτα, κατὰ τὴν προηγηθεῖσαν γνώμην τοῦ Hug (εἰμὴ ὅτι οὗτος μὲν λέγει πρωτότυπον τὸ Ε, ἐκεῖνος δὲ τὸ Η), καὶ ὅτι μετὰ ταῦτα, ἤτοι κατὰ τὴν ἰδέαν αὐτῶν, ὅτε ἐτελειοποιήθη τὸ ἀλφάβητον, ὅτε δηλαδὴ ἐχωρίσθησαν διὰ μόνης τῆς ἐμφαντικῆς φωνῆς חא =χέ, ὠνόμασται τὸ Ε ἄνευ σημαντικοῦ ὀνόματος καὶ ἑπομένως ἄνευ σχήματος παραστατικοῦ ἀντικειμένου τινός. Καὶ οὕτως ἀποκηρύττει τὴν ἰδέαν τῆς ὀπῆς, ἣν πρότερον (ὅρα ἀνωτέρω § 65) ἐκ τοῦ Ewald υἱοθέτησεν. Ἡμεῖς ἐσμὲν ὅλως περὶ τῆς διὰ παντὸς ἀκεραιότητος τοῦ σημικοῦ ἀλφαβήτου, συμφωνοῦντες καθ' ὁλοκληρίαν μετὰ τοῦ Hitzig, ἔς γε τοῦτο, λέγοντος· Diese XXII Buchstaben kehren in allen semitischen Alphabeten wieder. Τοῦτο δὲ μαρτυρεῖ καὶ ὁ Ἀσὶμ ἐφένδης ἐν τῷ Καμοὺς ἐν λέξει إبجد ὅτι καὶ οἱ Ἄραβες ἔγραφόν ποτε τούτοις μόνοις καὶ σὺν πᾶσι τούτοις. Καὶ μηδαμῶς συγκατατιθέμενοι τῷ Olshausen λέγοντι (σελ. 4.)· Halte ich es für unrichtig, wenn man sagt (ὁ δ' εἰπὼν ἦν ὁ Hitzig) dieses Alphabet sei vollkommen selbstændig, und von jedem andern unabhængig, πιςεύομεν, ὡς ὁ γεννήσας ἐγέννησεν αὐτὸ ἄρτιον, ἤ, κατὰ τὴν ἔκφρασιν τοῦ αὐτοῦ Hitzig (σελ. 4.)· Wie aus Jupiters Haupte die Minerva. Ἀλλὰ καὶ λόγους ὁλοκλήρους ἡρμηνεύσαμεν ἐκ τῆς σειρᾶς τῶν φωνῶν αὐτοῦ καὶ ἐκ τῆς τῶν ὀνομάτων αὐτοῦ, ὅπερ οὐκ ἂν γένοιτο, εἴπερ κατ' ὀλίγον καὶ κατὰ καιρὸν ἀνεπληροῦτο τὸ Ἀλφάβητον. Διό, καὶ ὡς οὐδαμῶς στέργομεν εἰς τὸ θεωρεῖν αὐτὸ γεγονέναι μέν ποτε κολοβόν, κατὰ ταύτην ἢ κατ' ἐκείνην τὴν φωνήν, ἀναπληρωθῆναι δὲ τῷ χρόνῳ καὶ κατ' ὀλίγον, οὕτως οὐδαμῶς ςέργομεν κατατρίβειν τὸν χρόνον καὶ διαπλανᾶν ἐν ἀντιλογίαις τοὺς τὰ τοιαῦτα φιλοκρινοῦντας. Αλλ' αὐτοὶ κρινέτωσαν περὶ τῆς δικαιότητος τῶν λόγων καὶ τῆς ἀναλογίας. Ἐν τῷ σαμσκρητά, ἐπειδὴ πλήθουσι τὰ δασέα ἢ τὰ πνευστικὰ σύμφωνα, ἓν μόνον πνεῦμα ἄσχετον ψιλὸν εὑρίσκεται, καὶ τοῦτο οὐδόλως ἀνάλογον ἔχον τὴν μορφήν, ἂν μὴ εἴπῃς πάντη, ἐν μέρει οὕτω οἷον ε τροχαλὸν κρεμάμενον. Ἐν τῇ ἑτρουρικῇ οἱ ἀκριβέστεροι οὐ συναριθμοῦσι τὸ στοιχεῖον ἐν τοῖς ἑτρουρικοῖς, εἰ καί τινες ἐσημείωσαν αὐτὸ οὕτω (ὅπερ πολλὴν ἔχει τὴν ὁμοιότητα πρὸς τὸ Σιναϊτικὸν ὡς ἐσημείωσεν αὐτὸ ὁ Πορφύριος) ὅπως ὁ Γόρι, (Dif. dell' alfab. degli antichi Toscani, Πρόλογ. σελ. CXLIX) ἐν τῷ καὶ πιθανῶς ἔν τισιν ἑλληνικαῖς λέξεσι, καὶ τοῦτο οὐ παρὰ τοῖς ἀρχαιοτάτοις τῶν Ἑτρουρίων. Παντάπασι δὲ ξενίζει τὸ ρυνικὸν κατὰ Ῥυδβέκιον .

69. Τὸ Θ. Θῆτα καὶ σαμαρικὸν θὲθ καὶ ἑβραϊςὶ טית καὶ συριςὶ θῆθα. ὁ Welsford ἐν τῇ συγγραφῇ αὐτοῦ (σ. 147) παραδόξως τὸ ἑλληνικὸν Θ τίθησιν ἀντίςοιχον τῷ ἑβραϊκῷ ת ἤτοι Τ, ἀπαναινομένων καὶ τοῦ ὀνόματος καὶ τῆς θέσεως ἔν τε τῷ ἀναγνωςικῷ καὶ λογιςικῷ. Εἶτα προστίθησιν· It appears to me to be one of the very oldest letters in existence

to have passed into the Greek Alphabet directly from the sanskrit, and not through the medium of any of the shemitic languages or Alphabets, and to have been primarily an hieroglyphic, both in China and Egypt. Λέγει δὲ ὅτι τὸ Θ ἐν μὲν Κίνᾳ σημαίνει ἥλιον ὀνομαζόμενον ζῦ (jy), ἐν δὲ Αἰγύπτῳ τὸν αὐτὸν ὑπὸ τὸ ὄνομα ΦΡΕ καὶ ὅτι τὸ ἀνωτέρω γρανθαμικὸν Ο ἐν τῷ σαμσκρητά, κατὰ τὸν λεξικογράφον Wilson, σημαίνει *κόκλον*, *σφαῖραν*, *δίσκον* τοῦ ἡλίου (*Σίβα*), καὶ τῆς σελήνης (*Παρβατή*), καὶ εἴδωλον, καὶ θεόν, καὶ ἓν ὄνομα τοῦ Σίβα. Καὶ προστίθησιν, ὅτι ὁ κύκλος ἐστὶ τὸ οὐσιῶδες τοῦ γράμματος, τετραγωνισθέντος ὑστεροχρόνως ἐν ταῖς ἐγγλυφαῖς διὰ τὸ εὔκολον. Καὶ τῷ ὄντι τὸ PA, ἢ PE καί, σὺν τῷ ἄρθρῳ Π ἢ Φ, ΦΡΕ, σημειοῦσιν οἱ Αἰγύπτιοι τῷ Θ, ὡς ἁπανταχοῦ ἐν τῷ οἰκείῳ PaMeΣO καὶ ἐν πολλοῖς ἄλλοις. Ἀλλ' ἐν τῇ κινικῇ γραφῇ τὸ ζῦ ἐστὶν ἡ οβ΄. κλεῖς καὶ σημαίνει ἥλιον, γραφόμενον οὕτω , ὅπερ ὁ Welsford (σελ. 276) ὁμολογεῖ μὲν νῦν γράφεσθαι τετράγωνον, διὸ ὀνομάζει αὐτὸ a sort of ladders, εἶδος ἀναβάθρας, λέγει δὲ ὅτι ἀρχῆθεν ἐγράφετο κύκλος. Ἡ γὰρ κινικὴ γραφὴ ἀπαναίνεται τὸ στρογγύλον καὶ πᾶν καμπυλόγραμμον συγκεκλεισμένον, καὶ οὐδ' ἂν εὕροις οὐδὲ ἓν τοιοῦτο ἐν ὅλῳ ἡμιολίῳ μυριάδος λέξεων τῶν ὑπὸ Guignes. Τὸ δὲ θῆτα σημαίνει σημεῖον διακριτικὸν περιδεδεμένον ἢ διακεκριμένον σημείῳ τινὶ ὅθεν καὶ ἁπλῶς ὅριν ὄντα ἐσπειρωμένον ἢ καὶ κολουριασμένον, οἷον δεσμόν, καὶ ἰδίᾳ ὅριν ἐςιγματισμένον καὶ ποικιλόχρουν ﻣﻘﻠﻢ nuancé de diverses couleurs. Διὸ καὶ ὁ Ὅμηρος (Ἰλ. Μ. 208) λέγει·

Τρῶες δ' ἐρίγησαν ὅπως ἴδον αἴολον ὄφιν.

Τὸ Θ σημαίνει ἔτι πτηνόν τι κατάστικτον τοῦ γένους Κατᾶ (ἴσως frangolina), ἰδίως δὲ τὸ ἐπὶ τοῦ μετώπου τῶν ἵππων λευκόν, καί τι πέταλον περιδεόμενον ἐπὶ τοῦ μετώπου ὑπὸ τῶν Ἰουδαίων ἐν τῷ προσεύχεσθαι, καὶ πᾶν ὅ,τι περίαπτον, ὡς σημεῖον διασταλτικόν (monimentum, λέγει ὁ Καστέλλης), καὶ τὰ δέματα ἐκ παλαιῶν τριμάτων διαφοροχρόων πανίων, κρεμαμένων εἰς τὰς οὐρὰς τῶν καμήλων ἢ εἰς τὰ κέρατα τῶν νεμομένων βοῶν, ὡς σημεῖον διαστολῆς καὶ ἀναγνωρισμοῦ τοῦ κτήτορος. Τὸ οὖν περίκλαςον σχῆμα σημαίνει περίαπτον δεσμὸν οἷον καὶ τὸ ἑλληνικὸν θ καὶ Θ. Συμμαρτυρεῖ δὲ τῷ λόγῳ καὶ τὸ ἐν τοῖς ἱερογλυφικοῖς emroulement

περισ*ί*λισις, κατὰ τὸν Χαμπολλιών. Ἐπὶ τῇ αὐτῇ σημασίᾳ καὶ ὁ Hitzig (σελ. 35) ἐκλαμβάνει τὴν λέξιν gekugelt, das sich ringelt, καὶ παραλληλίζει τὸ ἑβραϊκὸν ע πρὸς τὸ νουμιδικὸν , ὅπερ λέγει, ὅτι γράφεται καὶ ἄλλως . Εἰς ταῦτα ὁ Πορφύριος προσίθησι καὶ καὶ καὶ καὶ ἐκ τῶν σιναϊτικῶν ἐπιγραφῶν καὶ καὶ καὶ οἷον ἔξω ἔχοντα τὴν συστροφήν. Ὁ Hitzig ἐκλαμβάνει τὸ σχῆμα ὡς κεφαλὴν ὄφεως, ἐφ' ἧς ζηρίζει τὴν ἑρμηνείαν αὐτοῦ, ὡς ὀψόμεθα ἐν ἰδίᾳ προσλαλιᾷ. Ἐν τούτοις τὰ δύο ἑλληνικὰ σχήματα θ καὶ Θ τῷ αὐτῷ που φθόγγῳ, καί τοι τραχεῖ, εὑρίσκονται ἐν τῷ γραν-θαμικῷ ἀλφαβήτῳ οἷον Ο=ΤΤΗΗα καὶ =ΤΗα, τὸ πρῶτον ἐπὶ τοῦ ὑπερώου, τὸ δεύτερον ἐπὶ τῶν ὀδόντων (ὅρα καὶ Ο). Ὁ Saalschütz (1) φέρει ἐκ τῶν ἱερογλυφικῶν βραχίονα μετ' ὠλένης καὶ χειρὸς ἀνεφγμένης, φερούσης ἐν παλάμῃ τρίγωνόν τι οὕτω καὶ .

Καὶ ἐπειδὴ ἡ χεὶρ αἰγυπτιαστὶ λέγεται ΤΩΤ, πλησίον τῆς φωνῆς τοῦ γράμματος τὲθ ἢ θὲθ, συμπεραίνει, ὅτι καὶ τὸ γράμμα αἰγυπτιακὴν ἔχει σημασίαν. Πρὸς τούτοις δοκεῖ δοξάζειν, ὅτι τὸ σχῆμα τοῦ ἑβραϊκοῦ ט καὶ τοῦ σαμαρικοῦ ἤτοι τὸ Θ δύναται προσαρτηθῆναι διὰ τοῦ δημοτικοῦ εἰς τὸ ἐνδειχθὲν ἱερογλυφικόν. Ἄλλως ὅμως ἔχει καὶ ὄφιν οἷον ἀνωτέρω σεσημειώκαμεν, ἴσως διότι τὸ συρικτὸν θ πολλὰ πλησιάζει εἰς τὸ ζ.

70. Τὸ Ι. ἰῶτα καὶ σαμαρικὸν ἰώδ. Ἐν ταῖς ἀρχαιοτάταις φοινικικαῖς ἐπιγραφαῖς, ταῖς εὑρεθείσαις ἐν Κιττίῳ καὶ ἐν Μελίτῃ, ὡς σημειοῖ ὁ προεπαινεθεὶς Hug (αὐτόθι), εὑρίσκεται τὸ Ι ἐγκεχαραγμένον οὕτω ἢ καὶ . Τοῦθ' ὅπερ ἔνθεν μὲν παρεμφερές πως ἐστὶ πρὸς τὸ ἀνωτέρω σαμαρικόν, ἔχον ὅμως ἄλλην θέσιν, ἔνθεν δὲ πρὸς τὸ ἱερογλυφικόν, ὅπερ λέγει ὁ Hug εὑρηκέναι οὕτω . Ὁ Saalschütz παρατίθησιν ἐκ τῶν ἱερογλυφικῶν ὠλένην ὁλοσχερῆ, ὡς καὶ ἐν τῷ Θ ἄνευ ὅμως τοῦ τριγώνου καὶ ἑρμηνεύει τὸ φοινικικὸν ὡς ἐμφαῖνον μόνους τοὺς δακτύλους, ἤτοι χεῖρα ἠνεῳγμένην ἢ τεταμένην, ausgestreckte Hand. Μικροῦ δεῖν τὸ αὐτό φησι καὶ ὁ Hitzig (σελ. 35—36) εἰς διαφοράν, λέγων, τοῦ Κέφ, ὅπερ γράφει οὕτω gekrummte Hand = Faust (πυγμή). Χαρακτῆρας δὲ τοῦ Ι δίδωσιν ἐκ τῶν φοινικικῶν τοὺς ἑξῆς· καὶ καὶ καὶ καὶ ἐπιλέγων· Zeigt ausser dem aufwaerts gekehrten Daumen drei Finger. Ὁ δὲ Πορφύριος ἐκ τῶν Σιναϊτικῶν ἐπιγραφῶν σημειοῖ οὕτω . Ἐν τῷ ἑτρουρικῷ ὁ Γόρι ἔχει σχῆμα ἀπαράλλακτον τῷ ἑλληνικῷ. Καὶ τὸ ὄνομα δὲ τοῦ γράμματος ἰὼδ σημαίνει πως χεῖρα. Εἴπομεν δέ πως, διότι κατὰ τὴν νῦν τῶν σημικῶν γλωσσῶν προφορὰν οὐ διὰ τοῦ φωνήεντος ω ἀλλὰ διὰ τοῦ ε (ἐν τῷ ἑνικῷ) οἷον ע καὶ διὰ τοῦ α σημαίνεται ἡ χεὶρ יד· διὰ δὲ τοῦ ω ἢ ου μόνον ἐν τῇ συρικῇ οἷον ἐν λέξει ἤτοι ἰώδα, σημαινούσῃ κατὰ τὸν Καστέλλην *puerum*, puerum. Αὕτη δὲ ἡ λέξις ἐστὶ συγγενὴς καὶ φωνῇ καὶ σημασίᾳ πρὸς τὴν ἀγγλικὴν youth (*νεότης* ἢ καὶ *νέος*) καὶ τὴν καρατουρκικὴν καὶ τὴν ἑλληνικὴν *ἠΰθεος*. Καὶ κατὰ μὲν τὴν πρώτην ὑποτύπωσιν τὴν τῆς χειρὸς δηλ. δύναται σημαίνειν ἰδεογραφικῶς τὸ αἰτητικὸν καὶ τὸ χρείαν ἔχειν βοηθείας ἢ πορισμοῦ (Διόδ. Σικ. Γ'.), ὡς τὰ παιδία· ἡ γὰρ χεὶρ κατὰ θέσεις καὶ στάσεις πολυσήματος· φωνητικῶς δὲ ἔχει δύναμιν τοῦ Τ, ὡς ἐν τῷ στοιχείῳ δειχθήσεται. Ἡμεῖς ἐξελεξάμεθα τὴν συρικὴν σημασίαν τῆς φωνῆς αὐτοῦ ἤτοι *παιδίον*, ὡς ἁρμόζουσαν ἐν τῇ καθ' ἡμᾶς συνθήκῃ τοῦ ἀλφαβητικοῦ λόγου. Πῶς δὲ μετέπεσε τὸ Ι ἐκ τῶν ἀρχαίων αὐτοῦ σχημάτων, τοῦτε σαμαρικοῦ καὶ φοινικικοῦ, εἰς τὴν ἁπλουστάτην γραμμικὴν ἐκτύπωσιν καὶ ἐν τῇ χαλδαϊκῇ καὶ ἐν τῇ συρικῇ καὶ ἐν τῇ ἑλληνικῇ Ι εἰς ἁπλοῦν, οὕτως εἰπεῖν, σημεῖον, ὥστε καὶ παροιμιακῶς λέγεσθαι πᾶν σμικρὸν καὶ ἁπλοῦν *ἰῶτα*, οὐκ ἔχω εἰπεῖν, ἂν μή τις διϊσχυρισθῇ περὶ τοῦ ἑλληνικοῦ, ὅτι ἐκ τοῦ ἀνωτέρω φοινικικοῦ μεταπεσόντος εἰς τὸ ἐμορφώθη τὸ ἐκ δὲ τούτου πάλιν τὸ Ι. Ὁ Saalschütz λέγει, καὶ οὐκ ἀπιθάνως, ὅτι ἡ μετάβασις ἐγένετο πρῶτον ἐν τοῖς ἱερογλυφικοῖς, γραφεισῶν τριῶν παραλλήλων ||| ἀντὶ τριῶν δακτύλων, εἶτα δύο, εἶτα δὲ καὶ ἑνὸς μόνου, ὅθεν τὸ ἑλληνικὸν Ι. Δηλοῦται δὲ τοῦτο καὶ ἐξ ὧν ἐπιφέρει δημοτικῶν σχημάτων, οἷον = = = καὶ τέλος = ἐξ οὗ ἄν τις εἴποι καὶ τὸ ἀρχαῖον ἑλληνικὸν . Τὸ γὰρ πάλαι παρ' Ἕλλησι Ι κατὰ πέντε ἢ ἓξ μορφὰς ἐτυπώθη, ὧν μία καὶ ἡ δειχθεῖσα, ἧς πλησίον καὶ τὸ ἀραβικὸν (*ἰέ*), ἤτοι Ι παχύ, δυνάμενον ὁτὲ μὲν ὡς φωνῆεν ὁτὲ δὲ ὡς σύμφωνον καὶ ἴδια ἔχον πάθη γραμματικά. Τοῦτο τὸ παχὺ τετραγωνιζόμενον εὑρίσκεται καὶ ἐν τῷ βραχμανικῷ οὕτω οἷονεὶ ὡς ἔγγιστα τοῦ ἀρχαίου προσημειωθέντος ἑλληνικοῦ . Ἐν τῷ βραχμανικῷ εὑρίσκονται καὶ ἕτερα δύο καθαρὰ φωνήεντα τὸ μὲν βραχὺ τὸ δὲ μακρὸν παρεμφερὲς τῷ τῶν ἀρχαίων Ἑλλήνων ἀμφότερα περίαπτα τοῖς συμφώνοις, τὸ μὲν ἀριστερόθεν οἷον ἐν τῷ (*ἅγιος*) τὸ δὲ δεξιόθεν οἷον ἐν τῷ (*γυνή*). Καὶ ἐκ τοῦ γραναθαμικοῦ ψιλοῦ φωνήεντος ἤτοι Ι ἂν ἀφαιρέσῃς τὴν συστροφὴν (ὅρ. Τεῦχ. Β'. σελ. 63. § 61) εὑρήσεις αὐτὸ ὅμοιον τῷ ἀνωτέρω ἀραβικῷ ἢ ἑλληνικῷ οἷον = υ. Ἐν τοῖς ἱερογλυφικοῖς ὁ Χαμπολλιὼν ἀναγινώσκει Ι τὰ δύο ὡς ἐν τῷ ΠΤΟΛΜΙΣ (οἰκ. ΙΑ'.) ἤτοι Πτολεμαῖος.



Καὶ πάντως τὸ σχῆμα εἴποις ἂν εἶναι τὸ ἰουδαϊκὸν

Οἰκ. ΙΑ'.

πλὴν τῆς σμικρότητος. Ἀλλ' ἐν τῇ ἱερογλυφικῇ ἄστατα καὶ ἀχαρακτήριστα τὰ φωνήεντα, ὥσπερ καὶ ἐν τῇ ἀραβικῇ γραφῇ. Διὸ καὶ ἐν πολλοῖς οἰκίσκοις βασιλικῶν ὀνομάτων, ἓν μόνον εὑρισκόμενον ἀναγινώσκεται Α, οἷον ἐν τῷ οἰκίσκῳ Ἀμενὼτῳ (ὅρα Τεῦχ. Β'. σελ. 65. οἰκ. Ε'.) παρὰ W. Brunet de Presle (Exam. Crit. de la Success. des Dynast. Égypt. σ. 161). Ὅθεν καὶ ἐν τῷ οἰκίσκῳ τοῦ Πτολεμαίου δύναται ἀναγνωσθῆναι τὸ μὲν πρῶτον ὡς α τὸ δὲ δεύτερον ὡς ε οἱονεὶ ΠΤΟΛΕΜαΐΣ. Ἐν τῇ ἑτρουρικῇ ἀείποτε εὑρέθη γραμμίδιον κάθετον οἷον τὸ ἡμέτερον.

71. Τὸ Κ. κάππα καὶ σαμαρικὸν Κὰφ ἢ κατὰ προφορὰν Κέφ. Πλησίον δ' αὐτοῦ καὶ τὸ κουφικὸν ὅθεν καὶ τὸ κοινὸν οἷον τῆς τριγώνου στιγμῆς μεταβληθείσης εἰς γραμμὴν λοξήν. Οὐ μακρὰν δὲ τούτων καὶ τὸ ἰουδαϊκὸν ὁμοίως καὶ τὸ ἑστράγγελο ὡς καὶ τὸ κοινὸν ψιτὸ λεγόμενον ἤτοι ἁπλοῦν . Ὁ Hug σημειοῖ ἐκ τῶν ἀρχαίων νομισμάτων παρ' Ἕλλησιν οὕτω καὶ ὅπερ ἐν Κυζικινοῖς νομίσμασιν εἶδον οὕτω πλησίον τοῦ ἱερογλυφικοῦ οἱονεὶ δύο ὠλέναι ἀναπεπταμέναι δεομένου ἢ αἰτοῦντος. Ὁ Hug ἐκ τῶν ἱερογλυφικῶν φέρει παλάμην οὕτω . Καὶ πάντως αὐτὸ τὸ ὄνομα Κὲφ δηλοῖ τὴν παλάμην ἢ καὶ τὸ δράζασθαι· πόθεν δ' ἔλαβε τοῦτο οὐ σημειοῖ ὁ Hug. Αἱ δύω ὅμως ὠλέναι ἀναγινώσκονται ἐν τῷ οἰκίσκῳ (ΙΒ'.) Σεβεκώφ.

Τὰς δύω ὠλένας φέρει καὶ ὁ Saalschütz ἐκ τῶν ἱερογλυφικῶν. Ἀλλὰ δοκεῖ κοινότερον κατὰ καιροὺς εἶναι τὸ σύμβολον ὡς ἐν τοῖς ὀνόμασι Κλεοπάτρα (Τεῦχ. Β'. σ. 65. οἰκ. Β) καὶ Αὐτοκράτωρ (αὐτ. οἰκ. Δ'.)

Οἰκ. ΙΒ'.

Τῷ χρόνῳ δὲ μετεμορφώθη πως· διότι ἐν τῷ Καίσαρος (ἀνωτέρω οἰκ. Θ'.) γράφεται οὕτω ἤτοι καμπύλῃ τῇ ὑποτεινούσῃ γραμμῇ. Ἐντῇ ἑτρουρικῇ ὅμοιον ἢ μᾶλλον ταὐτόν ἐστι τῷ ἑλληνικῷ καί ποτε μικρόν τι παραλλάσσον οὕτω ἢ καὶ ἁπλῶς ἀτεχνίᾳ ἴσως τοῦ γράψαντος ἢ διὰ τὸ συγκεχύσθαι τῷ Γ, ὅπερ, ὡς εἴδομεν (ἐν § 63.) εὑρέθη, ὡς τὸ λατινικὸν C, καὶ ἐν ἑλληνικοῖς νομίσμασιν. Ὁ Hitzig ὡς φοινικικὸν σχῆμα τοῦ γράμματος παρέχει ἐν τῷ πίνακι ἓν μὲν τὸ ἕτερον δὲ τὸ · ἀλλ' εἴποι ἄν τις, ὅτι συνέχεε τὸ καὶ τὸ Κ. Ἐν τοῖς ἑλληνικοῖς αἱ μορφαὶ ἠλλαξαν κατὰ χρόνους καὶ τόπους, οἷον καὶ

(1) Ὁ Hug περιορίζει τὰς ἐρεύνας αὐτοῦ περὶ τῆς σχέσεως τῶν γραμμάτων πρὸς τὰ ἀντικείμενα, ἐξ ὧν παρωνυμοῦνται, ἐπὶ μόνων τῶν 15 στοιχείων, τῶν κατὰ πρῶτον εἰσαχθέντων παρ' Ἕλλησιν, οἷον α. β. γ. δ. ε. ι. κ. λ. μ. ν. ο. π. ρ. σ. τ., καὶ ὄντων κοινῶν, ὡς λέγει, καὶ τοῖς Φοίνιξι (ὅρα §. 68). Περὶ δὲ τῶν ζ. ξ. η. θ. οὐδένα λόγον ποιεῖται, πόθεν δηλαδὴ ἔσχον τὰ ὀνόματα καὶ τί σημαίνουσι.

. Ἐν τῷ σαμάκρητὰ δύο εἰσὶ τὰ Κ, τὸ μὲν ψιλὸν ὅπερ ἄλλως γράφεται ἔχον ἴσως μακρόθεν ἐμφέρειάν τινα πρὸς τὸ ἡμέτερον τροχαλὸν κ, τὸ δὲ δασὺ τραχύπνευστον παντάπασι ξενίζον καὶ τὴν μορφὴν καὶ τὴν φωνήν.

72. Τὸ Λ. λάμβδα καὶ σαμαρικὸν λάμεδ. Σημαίνει δὲ ἡ φωνὴ τὸ τύπτειν τινὰ ὀργάνῳ τινὶ τυπτικῷ, ἢ ἁπλῶς τὴν τύψιν ἐπὶ παιδείᾳ, καὶ ἐκ μεταφορᾶς τὸ παιδεύειν καὶ διδάσκειν, ἢ καὶ ἀφῃρημένως τὴν παιδείαν καὶ μάθησιν. Τὴν αὐτὴν σημασίαν ἀπέδωκε πάλαι ὁ θεῖος Ἱερώνυμος. Τυπτικὸν δὲ ὄργανον ἑρμηνεύει καὶ ὁ Saalschütz, Knüttel καὶ Geissel. Ἐν τοῖς ἱερογλυφικοῖς εὕρηται, ὡς ἐν τῷ οἰκίσκῳ Πτολεμαῖος (ὅρα ἀνωτέρω οἰκ. ΙΑ΄.) καὶ Κλεοπάτρα (Τεῦχ. Β΄. σελ. 65. οἰκ. Β΄.) διὰ λέοντος ἐμφαινόμενον. Πολλάκις δὲ τίθεται καὶ ἀντὶ τοῦ Ρ λαμβδιζομένου, ὡς ἐν τῷ οἰκίσκῳ ΑὐτοκράτωΛ (Τεῦχ. Β΄. σελ. 65. οἰκ. Δ΄). Ὅτι δὲ ἡ τοιαύτη ἐναλλαγὴ τοῦ στοιχείου Ρ εἰς Λ ἐγίνετο κατ' ἰδίωμα τῆς αἰγυπτιακῆς γλώσσης, ἐσημείωσε καὶ ὁ Quatremère (Recherches sur l' Egypte etc. σελ. 228 ὑποσημ. 5) ἐκ τοῦ παναρχαιοτάτου τμήματος τοῦ Προφήτου Ἱερεμίου ἐν μεταφράσει αἰγυπτιακῇ κοπτικοῖς γράμμασι γεγραμμένῃ. Ἐν τῇ ἑλληνικῇ ἀρχαίᾳ γραφῇ εὕρηνται καὶ ἕτεραι μορφαί, οἷον ἀρχαιοτάτη ὁμοία τῇ φοινικικῇ κατὰ τὸν Hitzig. ὁ Hug ὅμως φέρει τὰς ἑξῆς ἁπλουστέρας καὶ ὁμοίαν τῇ ρουνικῇ, ἔτι δὲ τὰς καὶ καὶ ὅθεν καὶ ἡ λατινικὴ καὶ ἡ ἀρμενικὴ κτλ. Τῇ ἀρχαίᾳ ἑλληνικῇ στοιχεῖ καὶ τὸ ἰουδαϊκὸν καὶ τὸ ἐστράγγελο ᾧ ἕπεται καὶ τὸ Κουφικὸν καὶ τὸ ἀραβικὸν εἰμὴ καθ' ὅσον καμπύλον. Τὸ δὲ ἑτρουρικόν ἐστιν ὅμοιόν πως . Ἐν τῷ σαμσκρητὰ δύο Λἔχουσιν οἱ Ἰνδοί, τὸ μὲν σύμφωνον γραφόμενον ἐν τῇ σειρᾷ τῶν συμφώνων οὕτω ἢ καὶ τὸ δὲ ὡς φωνῆεν, καὶ τοῦτο διπλοῦν καὶ ὑπογραφόμενον εἴτε ἐλαφρὸν καὶ ἄτονον εἴτε παχὺ . Ἀλλ' ἅπαντα ταῦτά εἰσι ξένα τῆς σημικῆς μορφῆς, ἂν μὴ εὕρῃς ὁμοιότητά τινα μεταξὺ τοῦ καὶ τοῦ κεφαλαίου ἐκκλησιαστικοῦ καὶ δὴ καὶ τοῦ τροχαλοῦ λ, προσεγγίζοντος τῷ αἰγυπτιακῷ δημοτικῷ, ὅπερ ὁ Saalschütz οὕτω σημειοῖ ἐν τῷ πίνακι. Ἀλλὰ καὶ τὸ γρανθαμικὸν ἔσχατον σύμφωνον Λ (τρία γὰρ εἰσὶ ταῦτα οἷον καὶ ὅπερ καὶ τελικὸν τίθεται, καὶ ἐξ οὗ, ἂν ἀφέλῃς τὴν ἀρχικὴν συστροφὴν τῆς γραμμῆς (ὅρα § 62), ὅμοιόν πως εὑρήσεις τῷ σαμαρικῷ. Ὁ Hug, ἀγόμενος ἐκ τῆς φοινικικῆς ἢ καὶ ἑλληνικῆς ἀρχαίας γραφῆς, εἰκάζει αὐτὸ μὲν σημαίνειν τὸ Stechen, κεντᾶν, καὶ τὸ Unterrichten, διδάσκειν, τὸ δὲ σχῆμα Griffel, γραφίδα ἢ στῦλον γραφικόν. Ὁ Hitzig (σελ. 11), ἑρμηνεύσας die Geissel ἤτοι μάστιγα, fouet, ἔλκει τὴν σημασίαν εἰς ὄφελος τῆς ἑρμηνείας, ἣν δίδωσιν εἰς τὸ Ἀλφάβητον, ὡς ὀψόμεθα· Besser, λέγει, Ochsenstechel «κάλλιον δηλ. βούκεντρον.» Ἀλλ' ἡ μορφὴ τοῦ γράμματος ἀπαναίνεται τοῦτο. Ἡμεῖς εἰκάσαμεν καὶ πάλαι, ὡς καὶ νῦν, ἀπό γε τῆς σημασίας τοῦ ὀνόματος ποδηγετούμενοι καὶ τῆς σαμαρικῆς γραφῆς, εἰ θέλεις δ' ἔτι καὶ τῆς ἀρχαίας ἑλληνικῆς, εἶναι μὲν ὄργανον τυπτικόν, οἷον μάζιγά τινα ἐφπλωμένην, σημαίνειν δὲ συμβολικῶς παιδείαν ἢ διδασκαλίαν (1). Ὅθεν ἐν συμπεράσματι ὀρθῶς κεῖται ἐνταῦθα σύμβολον παιδείας καὶ μαθήσεως ἡ μάστιξ.

ΣΤΕΦΑΝΟΣ ΚΑΡΑΘΕΟΔΩΡΗ.

